ΙΩΑΝΝΗΣ ΟΙΚΟΦΥΛΑΞ ΜΕΛΑΝΟΦΘΑΛΜΟΣ

ΒΙΒΛΙΟΝ ΕΛΛΗΝΙΚΟΝ ΠΡΩΤΟΝ

ΒΕΔΥΕΡΟΣ ΕΞΕΔΩΚΕΝ

εἰσαγωγή

πάντες οἱ ἐνταῦθα λόγοι ὑπὸ Ἰωάννου Οἰκοφύλακος Μελανοφθάλμου* γεγραμμένοι δηλοῦνται ἢ διὰ σχημάτων ἢ διὰ τῶν ἐν τῷδε τῷ τόπῳ μερῶν · http://dcc.dickinson.edu/greek-core-list
τὸ δὲ * δείκνυσιν ὅ, τι μὴ εὑρίσκεται ἐν τῇ παλαιᾷ Ἑλληνικῇ γλώσσῃ.
ἐὰν δὲ ἁμάρτω τι, γράψετε πρὸς ἐμέ. χάριν δὴ ἔχω ὑμῖν.

Βεδυερός
bedwere@yahoo.com

εἰσαγωγή, ἡ ← εἰς + ἄγω.



Ἰωάννης Οἰκοφύλαξ Μελανόφθαλμος* (John Stuart Blackie) 1809-1895.




βιβλίον, τό. Ἑλλην-ικός, ή, όν.

1 *ὀνόματα · ἡ ὀνομαστικὴ καὶ ἡ αἰτιᾱτικὴ πτῶσις, ἡ πρώτη καὶ ἡ δευτέρα κλίσις. ῥήματα · τρία πρόσωπα ἑνικά, ὁ ἐνεστὼς τῆς ὁριστικῆς*

λαμπρός ἐστι ὁ ἥλιος.
καὶ καλὴ ἡ ἡμέρα.
ὁρᾷς τὸν ἥλιον;
ὁρῶ νεφέλην. α′· *νεφέλη*, ἡ.
νεφέλην στυγνὴν ὁρῶ.
ὁρᾷς τὸν καπνόν; β′ · καπνός, ὁ.
ὁρᾷς τὸν οὐρανὸν τὸν κυανοῦν;
ἀκούεις τοῦ ποταμοῦ;
ἀκούεις τῆς βροντῆς; γ′ · βροντ-ή, ἡ.
θαυμάζεις τὸ δένδρον τόδε τὸ ὑψηλόν; δ′ · δένδρον, τό.
θαυμάζω καὶ μάλα γε.
ὁρᾷς τὸ ῥόδον τοῦτο τὸ καλόν;
καὶ τὸ λείριον τὸ λευκόν;
καὶ τὴν πόαν τὴν χλωράν;
καλός ἐστιν ὁ κῆπος.
καὶ σοφὸς ὁ κηπουρός.
ὁρῶ ἄκανθαν.
κακόν, κακόν.
αἰσχρόν, αἰσχρόν.
μῑσῶ τὴν κακὴν ἄκανθαν.
φιλῶ τὸ ῥόδον τὸ καλόν.
μῑσεῖς τὴν ἀκαλήφην;


ὀνομ-αστικός, ή, όν ← ὄνομα.
αἰτι-ᾱτικός, ή, όν ← αἰτία.
πτῶσις, εως, ἡ (← πίπτω) · τὸ μὲν *ἡμέρα* ἐστὶν ἐν τῇ ὀνομαστικῇ πτώσει, τὸ δ’ *ἡμέραν* ἐστὶν ἐν τῇ αἰτιᾱτικῇ.
κλίσις, εως, ἡ · τὸ *ἡμέρα* ἐστὶν ὄνομα τῆς πρώτης κλίσεως.
ῥῆμα, ατος, τό · τὸ *ὁράω* καὶ τὸ *ἀκούω* εἰσὶ ῥήματα.
ἑνικός, ή, όν ← ἕν.
ἐνεστώς (← ἐνίστημι ← ἐν + ἵστημι) = *νῦν ὤν*.
ὁρισ-τικός, ή, όν · τὸ *ὁράω, ὁρᾷς, ὁρᾷ, κ.τ.λ.* ἐστὶ ὁ ἐνεστὼς χρόνος τῆς ὁριστικῆς τοῦ *ὁράω* ῥήματος.



στυγν-ός, ή, όν ↔λαμπρός.
κυά-νεος, α, ον, (κυανοῦς, ῆ, οῦν) · ὅταν ἡ ἡμέρα καλὴ ᾖ, ὁ οὐρανός ἐστι κυανοῦς.
ὑψηλός, ή, όν · ὁρῶ δένδρον ὑψηλόν ἐν τῷ δ’.
ε′ · ῥόδον, τό.
ϛ′ · λείρ-ιον, τό.
λευκός, ή, όν · τὸ λείριόν ἐστι λευκόν.
ζ′ · πόα, ἡ.
χλωρός, ά, όν · ἡ πόα ἐστὶ χλωρά.
η′ · κῆπος, ὁ.
θ′ · κηπουρ-ός, ὁ.
ι′ · ἄκανθ-α, ης, ἡ.
φιλέω (← φίλος) · φιλῶ αὐτὸν ὅτι φίλος ἐστί μοι.
μῑσ-έω ↔ φιλέω.
ια′ · ἀκαλήφη, ἡ.

μάλιστα.
σφοδρός ἐστιν ὁ ἄνεμος.
φιλῶ τὴν σκιάν. α’ · σκιά, ᾶς, ἡ.
καὶ τὴν σκέπην. β’ · σκέπ-η, ἡ.
φέρε τὴν τράπεζαν. γ’ · τράπεζ-α, ης, ἡ.
ποῦστι ὁ πέτασος ὁ ἐμός; δ’ · πέτασος, ὁ.
δός μοι τὸν πέτασον.
φιλῶ πῖλον ἐγώ. ε’ · πῖλος, ὁ.
κῑ́νει τὸ πῦρ. [τὴν ἐσχάραν.] ϛ’ · ἐσχάρ-α, ἡ.
δός μοι τὸ σκάλευθρον. ζ’ · σκάλ-ευθρον, τό.
ἔχεις πυράγραν; η’ · πυράγρα, ἡ.
ἰδού.
ὁρᾷς τὸ κάτοπτρον; θ’ · κάτοπτρον, τό.
ἔχεις ἕδρᾱν; ι’ · ἕδρ-α, ἡ
ἔχεις ὑποπόδιον; ια’· ὑποπόδ-ιον, τό
ἔχεις κλῑ́νην; ιβ’ · κλῖν-η, ἡ
δός μοι τὴν βακτηρίαν. ιγ’ · βακτηρ-ία, ἡ.
τὸ παιδίον τόδε τίς ἔστι;
ὁ ἀδελφὸς ὁ ἐμός.
ἔστι σοι ἀδελφή;
φιλῶ δεῖπνον. ιδ’ · ἄρτος, ὁ.
ἔχεις ἄρτον καὶ βούτῡρον; ιε’ · βού-τῡρον, τό.
καλὸν τὸ ἀργυροῦν ποτήριον τοῦτο. ιϛ’ · ποτήριον, τό.
φέρε τὸ καλαμάριον. ιζ’ · καλαμ-άριον, τό.
λαβέ.
οὐχ ὁρῶ κάλαμον. ιη’ · κάλαμος, ὁ.
ἰδού.
χάριν ἔχω.
δός μοι χειρόμακτρον. ιθ’ · χειρό-μακτρον, τό.
ἔτι δὲ τοῦ σᾱ́πωνος. κ’ · σάπων [ᾱ], ωνος, ὁ.
ἰδοὺ σᾱ́πωνα τὸν τοῦ Πεαρσίου.* κ’ · Πεαρσίος,* ὁ.
θεῖον πάνυ χρῆμα τοῦ καθαρτικοῦ.

σφοδρ-ός, ά, όν = ἰσχῡρός.
ἄνεμος, ὁ = πνεῦμα.



ποῦστι = ποῦ ἐστι.
παιδί-ον, τό = μικρὸς παῖς.
ἀδελφ-ή, ἡ ← ἀδελφός.
ἐσ-θίω, ἔδομαι, ἔφαγον, ἐδήδοκα, κατ-εδήδεσμαι, ἠδέσθην · ἐσθίομεν τὸν ἄρτον καὶ τὸ βούτῡρον.
δεῖπνον, τό · οἱ ἄνθρωποι ἐσθίουσι τὸ δεῖπνον κατὰ τὸ τέλος τῆς ἡμέρας.
ἀργύρεος, α, ον (ἀργυροῦς, ᾶ, οῦν) = ὢν ἀργύρου, ἐξ οὗ γίγνεται τὸ ἀργύριον.
θεῖος, α, ον = τοῦ θεοῦ ὤν.



καθαρ-ός, ά, όν ↔ ῥυπαρός, ά, όν
καθαρ-τικός, ή, όν (→ καθαρ-ός) = δυνάμενος ποιεῖν τινα ἤ τι καθαρόν

νῦν δὴ λευκαί μοι αἱ χεῖρες ὥσπερ ἡ χιών.


χιών, όνος, ἡ

γενικός, ή, όν ← γένος.
δοτ-ικός, ή, όν (← δίδωμι) · ἡ μὲν γενικὴ πτῶσις τοῦ *ἡμέρα* ἐστὶν τὸ *ἡμέρας*, ἡ δὲ δοτική ἐστι τὸ *ἡμέρᾳ*.

2 *πτώσεις*[4] *· ἡ γενικὴ καὶ ἡ δοτική*

σοφία, ἡ (← σοφός) · ὁ σοφὸς ἔχει σοφίαν.

ὁρῶ νεφέλην[4] ἐν τῷ οὐρανῷ.
θαυμάζω τὴν σοφίαν τὴν ἐν τῷ σῷ ἀδελφῷ.
δὸς τῷ ἀδελφῷ τὸν κάλαμον[5] τόνδε.
καὶ τὸ καλαμάριον.[5]
ὁ ἀδελφὸς ὁ σὸς θαυμάζει τὸ λευκὸν[4] ῥόδον[4] τὸ ἐν τῷ κήπῳ.[4]
ἀκούεις τῆς τοῦ ποταμοῦ βροντῆς;[4]
ἡ βία τοῦ ἀνέμου[5] ταράττει τὸν κῆπον.[4]
καὶ τόν γε πέτασον[5] ἐπὶ τῇ ἐμῇ κεφαλῇ.
κῑ́νει τὸ πῦρ τῷ σκαλεύθρῳ.[5]
ὁρᾷς τὴν ἕδραν[5] τὴν τοῦ ἐπισκόπου;
ἰσχῡρός ἐστι · ἐσθίει τὸν τῶν πονούντων ἄρτον.[5]
δός μοι τὸν κάλαμον[5] τὸν τοῦ ἀδελφοῦ.
φέρε τὸ καλαμάριον[5] τὸ τῆς ἀδελφῆς.[5]
κόπτε τὸν κάλαμον[5] τῇ μαχαίρᾳ.

βία, ἡ = δύναμις, μάλιστα ἡ κακὸν ποιοῦσα.
ταράσσω (ταράττω) = μάλα κῑνῶ.


ἐπίσκοπ-ος, ὁ


μάχαιρ-α, ας, ἡ

πον-έω (← πόνος) = ποιῶ πόνους.


κόπτω, κόψω, ἔκοψα, -κέκοφα, κέκομμαι, -εκόπην = τέμνω.

3 *πληθυντικοί, ἀριθμητά, ὑποκοριστικά*

γράφομεν καλάμῳ,[5] ὁρῶμεν τοῖς ὀφθαλμοῖς.
τὴν ἐπιστολὴν ἥν σοι γράφω δὸς τοῖς ἀδελφοῖς.
πόσους ἔχεις ἀδελφούς;
ἕξ, ἀδελφὰς[5] δὲ ἑπτά.
δεινὰ ταῦτα.
πόσα ἔχεις ῥόδα[4] ἐν τῷ πετάσῳ;[5]
δώδεκα, λείρια[4] δὲ ἕξ.
πόσους ἔχει ἵππους ὁ ἀδελφός;
τρεῖς.
ὁρᾷς τοὺς κύκνους καὶ τοὺς γεράνους ἐν τῇ λίμνῃ;
ὁρῶ, δεινὸν τὸ πλῆθος.
καὶ δὴ καὶ τρεῖς μόσχους κομψοὺς ἐν τῷ ἀγρῷ;
ἔτι δὲ ἱππάριον, κόσμιον, βαλιόν;
τί γελᾷς;
ἐκεῖνο τὸ παιδίον ἱππαζόμενον ἐπὶ τοῦ ἱππαρίου.
καὶ δὴ καὶ τρέχει ὀπίσω ἡ παιδίσκη ἡ κομψή.
τερπνὸν τὸ θέᾱμα.
ὁ θαυμαστὸς οὑτοσὶ δύο ὁρᾷ ἡλίους ἐν τῷ οὐρανῷ, ἡμεῖς δὲ ἕνα μόνον ὁρῶμεν.
μῑσοῦμεν[4] τὴν φωνὴν τοῦ μωροῦ.
τοῦ δὲ σοφοῦ φωνὴν φιλοῦμεν.[4]
οἱ ἀστρονόμοι πολλὰ ὁρῶσι τοῖς τηλεσκοπίοις* ἃ ἡμεῖς οὐχ ὁρῶμεν.

πληθ-υντικός, ή, όν (← πλῆθος) · τὸ *ἡμέραι* ἐστὶ ἐν τῷ πληθυντικῷ ἀριθμῷ.
ἀριθμ-ητός, ή, όν (← ἀριθμός) · τὸ *πρῶτος* καὶ τὸ *εἷς* ἐστιν ἀριθμητά.
ὑποκορ-ιστικός, ή, όν · τὸ *παιδίον*[5] ἐστὶ ὑποκοριστικὸν τοῦ *παῖς*

ἐπιστολ-ή, ἡ = γράμματα ἃ πέμπομεν.
πόσος, η, ον (← ὅσος) · πόσος; = τίς ἐστιν ὁ ἀριθμὸς ἢ τί ἐστι τὸ μέγεθος;



α' · κύκνος, ὁ. β' · γέρανος, ἡ, ὁ. γ' · λίμν-η, ἡ. δ' · μόσχος, ὁ, ἡ. ε' · ἀγρός, οῦ, ὁ. ς' · γελάω. ζ' · τηλεσκόπιον,* τό.
κομψ-ός, ή, όν = καλός.
ἱππ-άριον, τό = ἵππος μικρός.
κόσμ-ιος, α, ον = ἔχων κόσμον.
βαλιός, ά, όν = ὁ ἐν τῷ *δ'* μόσχος ἐστὶ βαλιός.
ἱππ-άζομαι = ἐλαύνω ἵππῳ.
τρέχω, δραμοῦμαι, ἔδραμον = ταχέως ἔρχομαι τοῖς ποσίν.
ὀπίσω · ἕπομαί τινι ὀπίσω αὐτοῦ.
παιδίσκ-η, ἡ = παῖς μικρά.
τερπνός, ή, όν = ἡδύς, παρέχων ἡδονήν.
θέ-ᾱμα, ατος, τό = ὅ, τι σκοπεῖ τις.
θαυμ-αστός, ή, όν ← θαυμάζω.
οὑτοσί = οὗτος.
μωρός, ά, όν ↔ σοφός.
ἀστρο-νόμος, ὁ = ἄνθρωπος σοφὸς σκοπῶν τὸν οὐρανόν.

πολλὰ μὲν ἔχει δένδρα[4] ἡ ὕ̆λη, λόγους δὲ πολλοὺς ἡ τῶν μωρῶν γλῶσσα.
πολλὰς κόπτομεν[6] ἀκάνθας[4] ἐν τοῖς ἀγροῖς.
καὶ οὐκ ὀλίγας, ὡς ἐλπίζω, ἀκαλήφας.[4]
δικαίως ἔγωγε, πάντες γὰρ μῑσοῦσιν[4] τὰς ἀκαλήφας[4] τὰς κακάς.
τί πράττετε;
γράφομεν ἐπιστολάς.
ἐπιστολὰς λέγεις;
καὶ μάλα γε, πρὸς τὴν βασίλισσαν.
θαυμαστὰ λέγεις.
ἀγαθὴ ἡ βασίλισσα, καὶ πρὸς τὰς εὐχὰς οὐ κωφὴ τὰς τῶν πιστῶν πολῑτῶν.
δίκαια λέγεις.


ὕλη, ἡ


βασίλ-ισσα, ἡ

ἐλπίζω (← ἐλπίς) = ἔχω ἐλπίδα.
ἔγωγε = ἐγώ + γε.
εὐχή, ἡ = λόγος τοῦ αἰτεῖν τι παρὰ Θεοῦ ἢ ἀνθρώπου δυναμένου.
κωφ-ός, ή, όν = μὴ δυνάμενος ἀκούειν.
πιστός, ή, όν (← πίστις) = ἄξιος πίστεως.
πολῑ́τ-ης, ου, ὁ (← πόλις) = πολῑτείαν ἔχων.

4 *ὁ ἑνικὸς*[4] *τῆς τρίτης κλίσεως*[4]

ὥσπερ σωτήρ, εἰκών, κ.τ.λ.

ὁρᾷς τὸν ἀροτῆρα τῷ ἀρότρῳ κόπτοντα[6] τὴν γῆν;
χρήσιμον τὸ ἔργον τοῦτο καὶ ἀναγκαῖον.
ἰσχῡρὸν ἔχει ἵππον ὁ ἀροτήρ.
τίνος ἐστὶν ἡ εἰκὼν ἐκείνη;
τοῦ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.


ἄροτρον, τό.
ἀρ-οτήρ, ῆρος, ὁ.


Ἰησοῦς Χριστός.
εἰκών, ἡ

ἀναγκ-αῖος, α, ον (← ἀνάγκη, ἡ) = ἀνάγκην ἔχων.
εἰκών, όνος, ἡ ← ἔοικα.
σωτήρ, ῆρος, ὁ (← σῴζω) = σῴζων.

θεῖον[5] πάνυ τὸ πρόσωπον.
τίς ἐστιν ἡ βίβλος ἐκείνη ἡ λαμπρά;
ἡ γεωγραφία τοῦ Στράβωνος.
τί πίνεις ἐκ τοῦ κρατῆρος ἐκείνου;
πίνομεν τὸν οἶνον.
δός μοι τὸν τρίβωνα τὸν παλαιόν.
ἐκ μικροῦ σπινθῆρος δεινὴ πολλάκις ἀνάπτεται φλόξ.
ὡς γράφει ὁ Ἀπόστολος Ἰάκωβος.
καίτοι τί ταῦτα λέγεις;
φοβεῖ με ὁ πολὺς ἐκεῖνος καπνὸς[4] ὁ ἐκ τῆς καπνοδόχης.
ἀκούω τοῦ κώδωνος καὶ τῆς τοῦ κλητῆρος φωνῆς ὃς ἐγείρει τοὺς πολῑ́τας.[8]
οὐ σμῑκρὸς ὁ κίνδῡνος.
ἀκούω τοῦ ἀλεκτρυόνος.



α' · βίβλος, ου, ἡ. β' · κρα-τήρ, ῆρος, ὁ. γ' · οἶνος, ὁ. δ' · τρίβων, ωνος, ὁ. ε' · σπινθ-ήρ, ῆρος, ὁ. ϛ' · καπνο-δόκη, ἡ. ζ' · κώδων, ωνος, ὁ. η' · ἀλεκτρυ-ών, όνος, ὁ.

γεωγραφ-ία, ἡ (← γῆ + γράφω) = ἐπιστήμη περὶ τῶν τῆς γῆς. Στράβων ἔγραψε βίβλον περὶ τῆς γεωγραφίας.
ἀνάπτω (← ἀνά + ἅπτω, ἅψω, ἧψα, ἧμμαι, ἥφθην) = ἅπτω = κῑνῶ πῦρ ἢ ποιῶ τι γενέσθαι πρός τινι.
φλόξ, ογός, ἡ ≃ πῦρ · τὸ γὰρ πῦρ ἔχει φλόγες.
ἀπόστολ-ος, ὁ = πρέσβυς καὶ μάλιστα ὁ τοῦ Ἰησοῦ Χριστοῦ ὥσπερ Ἰάκωβος.
κλητ-ήρ, ῆρος, ὁ (← καλέω) = καλῶν.
ἐγείρω, ἐγερῶ, ἤγειρα, ἔγρήγορα, ἐγήγερμαι, ἠγέρθην, ἠγρόμην = κῑνῶ.
σμῑκρός, ά, όν = μικρός.

ὥσπερ ποιμήν, ῥήτωρ, κ.τ.λ.

ὁρᾷς τὸν ποιμένα ἐκεῖνον μετὰ τῶν προβάτων ἐν τῷ λειμῶνι;
ὁρῶ, καὶ τὸν κύνα.
ἆρα οὖν ἀκούετε τῆς φωνῆς τοῦ ἐκείνου ῥήτορος;
ἀκούομεν · μᾶλλον δὲ ἀρέσκει ὁ τῶν χελῑδόνων τρισμὸς καὶ τῆς ἀηδόνος τὸ ᾆσμα.
δικαίως · αὗται γὰρ κῑνοῦσι τὸ βαθὺ τῆς ψῡχῆς.



α' · ποιμήν, ένος, ὁ. β' · πρόβατον, τό. γ' · λειμών, ῶνος, ὁ. δ' · κύων, ὁ, ἡ. ε' · χελῑδ-ών, όνος, ἡ. ϛ' · ἀηδ-ών, όνος, ἡ.
ῥήτωρ, ορος, ὁ = ἄνθρωπος δεινὸς λέγειν.
τρισμός, ὁ = φωνὴ ὀξεῖα.
ἀρέσκω, ἀρέσω, ἤρεσα, ἠρέσθην = ἡδύς εἰμι, ἡδονὴν δίδωμι.
ᾆσμα, ατος, τό · λεχθέν τι τῇ κατὰ τέχνην φωνῇ.
βαθύς, βαθεῖα, βαθύ · ἡ θάλασσά ἐστι βαθεῖα. ■

ὥσπερ λαῖλαψ, ἱέραξ, κ.τ.λ.

ἔρχεται ὁ ὑ̔ετός.
οὐδαμῶς.
τὴν ψῑλὴν ψεκάδα οὐκ ὑ̔ετὸν λέγω.
ἐκείνη ἡ νεφέλη[4] σημαίνει λαίλαπα.
λαμπρὰν ἔχω ἐλπίδα καλῆς ἡμέρας.
ὁρᾷς ἐκεῖνο τὸ γυναικάριον ἐν τῷ ἀγρῷ;[7]
λέγουσι μαινάδα εἶναι.
καὶ πιστεύω ἔγωγε.[8]
δός μοι τὸν κρηπῖδα, καὶ τὸν πέτασον[5] καὶ τὴν χλαῖναν.
ποῦστι[5] τὸ ὑπόδημά μου τὸ ἕτερον;
τί ἔχεις ἐν τῷ στόματι;
ἄρτον[5] · χάριν ἔχω τῷ Θεῷ.
τί γράφεις;
ποίημα.
πότερον νοῦς ἔστιν ἐν τῷ ποιήματι;
πῶς οὔ; οὐ φῡσῶ φῡσήματα ἐκ σάπωνος.[5]
ὁρᾷς ἐκεῖνον τὸν κόρακα;
ὁρῶ, περιπατεῖ ὡς κληρικὸς σεμνῷ τῷ βήματι.
τί ἐστι τὸ ὄνομα τοῦ ἐνδόξου ἐκείνου ῥήτορος;
Γλάδστων.*
ὄνομα Σκωτικόν.*
καὶ μάλα γε · ἔχει γὰρ ἑρμηνείαν τὸ ὄνομα, λίθος ὁ τοῦ ἱέρᾱκος.
ἔστι Γλάδστων* ὄνομα δήμου τινὸς ἐν τῇ χώρᾳ τοῦ Μεσολωθιᾶνος.*
τί πράττει ὁ παῖς ἐκεῖνος;

ὑ̔ετός, ὁ = ὕδωρ ἐκ τοῦ οὐρανοῦ πίπτον.
οὐδαμῶς = οὐδενὶ τρόπῳ.
ψῑλός, ή, όν = μὴ ἔχων κόσμον, ὥσπερ γῆ μὴ ἐχουσα δένδρα.[4]
ψεκάς, άδος, ἡ = ὑ̔ετὸς μικρός.
σημαίνω (← σημεῖον) = δίδωμι σημεῖον, βούλομαι.
λαῖλαψ, απος, ἡ = ὑ̔ετὸς μέγας ἔχων ἄνεμον[5] ἰσχῡρόν.
γυναικάριον, τό (← γυνή) · ὑποκοριστικὸν [7] τοῦ *γυνή*.
μαινάς, άδος, ἡ = γυνὴ μὴ εὖ φρονοῦσα.
χλαῖνα, ης, ἡ = τρίβων.



α′ · κρηπίς, ῖδος, ἡ. β′ · ὑπόδημ-α, ατος, τό. γ′ · φῡσάω. δ′ · φῡσ-ημα, ατος, τό. ε′ · κόραξ, ακος, ὁ. ς′ · κληρικός, ὁ. ζ′ · Γλάδστων*, ωνος, ὁ. η′ · Σκωτία,* ἡ. θ′ · ἱέραξ, ᾱκος, ὁ. ι′ · Μεσολωθιάν,* ᾶνος, ὁ.


ποί-ημα, ατος, τό (← ποιέω) = ἔργον ποιητοῦ.
σεμνός, ή, όν = ἱερός, ά, όν.
βῆμα, ατος, τό (← βαίνω) = μέρος ἔλασσον τοῦ βαίνειν.
ἔνδοξ-ος, ον (← δόξα) = ἐν δόξᾳ ὤν.
Σκωτικός, ή, όν* = ὢν ἐκ τῆς Σκωτίας.*
περιπατέω = βαίνω.
ἑρμην-εία, ἡ = τὸ ἐν ἄλλῃ γλώσσῃ λέγειν.

μαστῑγοῖ τὴν βέμβῑκα.
αὐτὸς μᾶλλον ἄξιος τῆς μάστῑγος, κακοῦργον γὰρ τὸ θρέμμα.
ἔτι δὲ ἀργός · οὐκ ἄξιος τοῦ ἄρτου.[5]
νομίζω ἔγωγε[8] τὸ νῶτον αὐτοῦ καὶ τὴν μάστῑγα ἐγγὺς προσήκειν γένει.
κακός ἐστιν · ἀλώπεκος καὶ ἄρκτου μίγμα παράδοξον.


ὥσπερ ἰχθῦ́ς, πατήρ, βασιλεύς, γυνή, κ.τ.λ.

ὁρᾷς τὸν καλὸν ἰχθῦ̀ν ἐν τῷ ὕδατι;
ὁρῶ, στίλβει τὸ θρέμμα. ὥσπερ μαργαρῑ́της.
ἕτερον πάνυ ὁ σῦς ὁ ῥυπαρὸς[5] ἐν τῷ συφεῷ.
μῑσω[4] τὸν σῦν.
ὅμως χοῖρος σῑτευτὸς λαμπρὸν ἄγαλμα τοῦ δείπνου.[5]
ὁρᾷς τὸν ὄφιν ἐν τῇ πόᾳ;[4]
μῑσω[4] τὸ θρέμμα.
διὰ τί;
ἔχει κίνδῡνον.
φρίττω τὸ ζῷον, πρόσωπόν γε τοῦ διαβόλου.
ἔχει πατέρα ὁ ὄφις τὸν Σατανᾶν.
πολλὰ ἔχει πρόσωπα ὁ διάβολος.
αἱρετώτερον δὲ καλῆς γυναικὸς τὸ πρόσωπον.
καὶ δὴ καὶ ἱερέως ὑπερηφάνου.
ἔτι δὲ βασιλέως ἀνόμου καὶ τυράννου ὠμοῦ.
καὶ ἀνδρὸς ἑκάστου τῶν ἐν πόλει ὅσοι πονηροί.

κακοῦργ-ος, ὁ (← κακός + ἔργον) = ποιῶν κακὰ ἔργα.
θρέμμ-α, ατος, τό (← τρέφω) = ζῷον.
ἀργός, ή, όν = μὴ θέλων ἐργάζεσθαι.
ἐγγύς = ὁδῷ μικρᾷ.
μίγμα, ατος, τό (← = μίγνυμι) = μεμειγμένον τι.
παράδοξος, ον(← παρά + δόξα) = παρὰ δόξαν ὤν.



α' · μαστῑγ-όω. β' · βέμβιξ, ῑκος, ἡ. γ' · μάστ-ιξ, ῑγος, ἡ. δ' · ἀλώπηξ, εκος, ἡ. ε' · ἄρκτος, ἡ. ϛ' · νῶτον, τό.
στίλβ-ω = ἀφίημι φῶς .
σῑτ-ευτός, ή, όν = εὖ τεθραμμένος.
ἄγαλμα, ατος, τό = δόξα λαμπρά.
φρίττω = φρίσσω = κῑνοῦμαι ὡς ἡ θάλασσα τῷ ἀνέμῳ. [5].
αἱρετ-ός, ή, όν ← αἱρέω.
ὑπερήφαν-ος, ον = δεικνὺς ἑαυτὸν μείζω τῶν ἄλλων.
ἄνομος, ον (← νόμος) = ὢν ἄνευ νόμου.
τύραννος, ὁ = δεσπότης πόλεώς τινος.
ὠμός, ή, όν = ὢν πονηρὸς ὡς ἄρκτος ἢ ὄφις.



ζ' · ἰχθῦ́ς, ύος, ὁ. η' · μαργαρ-ίτης [ῑ], ου, ὁ. θ' · σῦς, συός, ὁ · χοῖρος, ὁ. ι' · συφεός, ὁ. ια' · ὄφις, ὄφεως, ὁ. ιβ' · διάβολ-ος, ὁ · Σατανᾶς, ᾶ, ὁ. ιγ' · ἱερ-εύς, έως, ὁ.

ἐπίθετα τῆς τρίτης κλίσεως.[4]

ἀληθὲς τὸ δόγμα τοῦτο τὸ περὶ τοῦ διαβόλου.
καὶ μάλα γε καὶ βαρύ.
γλυκὺ τὸ μέλι μετὰ τὸ πικρόν.
δημιουργοὶ αἱ μέλισσαι τοῦ μέλιτος τοῦ γλυκέος.
βασιλέως γλύκυσμα τὸ μέλι.
στέργομεν σύμπαντες τὰ νώγαλα καὶ τὰ τρωγάλια ἀκόλουθα τοῦ δείπνου.[5]

ἐπίθετ-ος, ον (← ἐπί+ τίθημι) = τιθεὶς ἐπί τινος. ὄνομα ἐπίθετον ὡς τὸ *καλός, ή, όν*.
δόγμα, ατος, τό (← δοκέω) = δοκοῦν τι.



μέλισσα, ης, ἡ. μέλι, ιτος, τό.

γλυκύς, εῖα, ύ ↔ πικρός, ά, όν.
δημιουργ-ός, ὁ (← δῆμος+ ἔργον) = ἐργαζόμενος ὑπὲρ τοῦ δήμου.
γλύκυσμα, ατος, τό = γλυκύ τι.
στέργω = φιλέω [4].
σύμπᾱς, σύμπᾱσα, σύμπαν (← σύν + πᾶς) = πᾶς δή.
νώγαλ-α, τά ≃ τρωγ-άλια, τά = ἃ ἐσθίομεν μετὰ τὸ δεῖπνον. [5]
ἀκόλουθ-ος, ον = ἑπόμενος.

5 ὁ πληθυντικὸς[7] τῆς τρίτης κλίσεως[4]


οὗτος ὁ πατὴρ πάντα τὰ χρήματα δίδωσι ταῖς θυγατράσι, τῷ δὲ υἱῷ οὐδέν.
οἱ μὲν τῆς ἐκκλησίας πατέρες πολλοί, ἕκαστος δὲ παῖς ἕνα μόνον ἔχει πατέρα.
δὸς τοῖς μὲν παισὶ βακτηρίαν,[5] ταῖς δὲ παρθένοις σκιάδειον.
γίγᾱς πάνυ ὁ παῖς οὑτοσί,[7] καὶ τέρας γε πρός · δακτύλους γὰρ δὴ ἑπτὰ ἔχει ἐπὶ τοῖς ποσίν.
τούτων τῶν παιδῶν πάντων ἄτοπόν τι ἔχει ἡ ἐσθής, παρέχουσά γε τὴν μὲν χλαμύδα μέλαιναν, τὸ δὲ πῖλίδιον ξανθόν.
ἀληθῆ λέγεις.

ἐκκλησί-α, ἡ (← ἐκ + καλέω) = οἱ ἐκκεκλημένοι, ὁ λαὸς τοῦ Χριστοῦ. [8]
παρθένος, ἡ = νέα γυνὴ ἡ μὴ ἔχουσα ἄνδρα.
γίγᾱς, αντος, ὁ = ἀνὴρ μέγιστος.
τέρας, τό = θαυμαστόν [7] τι.
δάκτυλος, ὁ · μία χεὶρ ἢ εἷς ποὺς ἔχει πέντε δακτύλους.
ἄτοπ-ος, ον = ἀπὸ τοῦ ἑαυτοῦ τόπου ὤν.



σκιάδειον, τό.
μέλᾱς, μέλαινα, μέλαν.
ξανθός, ή, όν
ἓν μὲν σκιάδειόν ἐστι ξανθόν, τὰ δ' ἄλλα ἐστὶ μέλαν.







ἐσθής, ῆτος, ἡ. αἱ ἐσθῆτες διὰ πολλῶν ἐτῶν.

χλαμύς, ύδος, ἡ = τρίβων [9] βραχύς.
πῖλίδιον, τό = ὑποκοριστικὸν [7] τοῦ *πῖλος*. [5]

6 τὰ συγκριτικά

οὗτος ὁ νεᾱνίσκος πολὺ μικρότερός ἐστι τῆς ἀδελφῆς.[5]
λέγει ἡ ἁγία γραφὴ ὅτι ὁ Σαοὺλ πολὺ μέγιστος ἦν πάντων τῶν συμπολῑτῶν.
οὐ σοφώτατος δέ.
ἄμεινον τοῦ μεγέθους ἡ σοφία.
πόσα ἄτακτα ῥήματά[4] ἐστιν ἐν τῇ Ἑλληνικῇ[3] γλώσσῃ;
οὐκ οἶδα.
περὶ τούτου γε χρὴ ἐρωτᾶν τὸν μάντιν, τὸν Οὐείτχνιον.*
φοβερὸν τὸ πλῆθος.
πλείω ἢ οἱ κόρακες[10] ἐν τῷ ἀγρῷ.[7]
ἀληθέστατα λέγεις.
λέγω τὸ ἔμοιγε πονηρότατον καὶ χαλεπώτατον.
μὴ ἀθῡ́μει · πολλὰ ἔχει κακὰ ὁ βίος, παγκάκιστον δὲ τὸν ἀπελπισμόν.
τῶν δὲ ἀγαθῶν ἐν τῷ βίῳ τί βέλτιστον;
ἡ πίστις.
ὡς λέγει προφήτης Ἀμβακούμ · ὁ δίκαιος ἐκ πίστεως ζήσεται.
οὗ οὐκ ἔχει λόγον ἀληθέστερον ἡ ἁγία γραφή.
πατὴρ τῆς ἀνδρείας ἡ πίστις, ἀδνρεία δὲ τῶν ἀνδρικῶν ἔργων πατήρ.
κάλλιστα λέγεις.
καλὸς ὁ λόγος, κάλλιον δὲ τὸ ἔργον.
ἄνευ ἔργου πάντων κενώτατον πρα-

συγκριτ-ικός, ή, όν (← σύν + κρίνω) · τάδε τὰ συγκριτικὰ ὄνοματα τοῦ *δίκαιος, α, ον* · τὸ *δικαιότερος* καὶ τὸ *δικαιότατος*.
νεᾱνίσκ-ος, ὁ = ἀνὴρ νέος.
ἅγιος, α, ον = θεῖος. [5]
Σαούλ, ὁ = ὁ πρῶτος βασιλεὺς τῶν Ἰουδαίων. (Ἰουδαῖος, ὁ)
συμπολῖτ-ης, ου, ὁ ← σύν + πολῖτης. [8]

ἄτακτ-ος, ον (← τάξις) = μὴ ἔχων τάξιν. τὸ *φέρω* ἐστὶ ῥῆμα ἄτακτον.
μάντις, εως, ὁ = λέγων πρὸ τοῦ χρόνου τὰ μέλλοντα.
Οὐείτχνιος* = ἔνδοξος [10] Σκωτικὸς [10] γράψας βίβλον [9] περὶ τῶν ἀτάκτων Ἑλληνικῶν ῥημάτων.
φοβερός, ά, όν (← φόβος) = παρέχων φόβον.

ἀθῡμ-έω (← θῡμός) = οὐκ ἔχω θῡμόν.
πάγ-κακος, ον (← πᾶς + κακός) = πάνυ κακός.
ἀπελπ-ισμός, ὁ (← ἐλπίς) · ὅταν μὴ ἔχωμεν ἐλπίδα.
προφήτ-ης, ου, ὁ (← πρό + φημί = μάντις.
Ἀμβακούμ, ὁ = προφήτης τις τῶν Ἰουδαίων.

ἀνδρεία, ἡ (← ἀνήρ) = ἀρετὴ τοῦ ἀγαθοῦ ἀνδρός.
ἀνδρικός, ή, όν (← ἀνήρ) = ὢν τοῦ ἀνδρός.
κενός, ή, ό = μὴ ἔχων ἐν ἑαυτῷ μηδέν.

γμάτων ὁ λόγος.
ἐλαφρότερον τῶν ἀχύρων.
καὶ οὐδὲν ἧττον στεῖρον.
ἔρρωσο.

ἐλαφρ-ός, ά, όν ↔ βαρύς.
στεῖρος, ον = μὴ δυναμένη τίκτειν.


ἄχυρον, τό.

ἀπὸ τοῦ τόπου ἰόντες λέγομεν τὸ *ἔρρωσο* (← ῥώννῡμι = ποιῶ τινα ἰσχῡρόν).

7 *ὁ ἐνεργητικὸς μέλλων*

νῦν δὴ φοβεῖς με · δεινὸς ὡς ἀληθῶς ὁ χρόνος οὗτος ὁ τοῦ μέλλοντος.
γέλοια λέγεις · οὐκ ἐάσω σε τὰ τοιαῦτα λέγειν · λέγε μᾶλλον τὸ τῆς παροιμίας χαλεπὰ τὰ καλά.
λέξω.
ἔχε πίστιν.
πιστεύσω καὶ νῑκήσω.
αἰνέσει σε ὁ πατήρ.
οὐδὲν διστάζω.
ἀνδρικὸν[13] δηλώσεις θῡμόν.
βλέψω ἀνδρικῶς[13] πρὸς τὸν διάβολον[11] καὶ οὐ τρέσω.
τί σκάπτει ὁ φύσκων ἐκεῖνος ἐν τῷ λειμῶνι;[9]
σκάπτει τάφρον.
σκάπτει τοὺς θεμελίους λαμπροῦ οἰκήματος.
οὐδαμῶς · τὸν τοιοῦτον οὐ θαυμάσομεν.
ἰδιώτης ἐστί · πόνον μὲν ἔχει, τέχνην δὲ οὔ · κόψει[6] ποτὲ τὸν ἴδιον δάκτυλον[12] τῇ μαχαίρᾳ,[6] καὶ δὴ καὶ τὸν ἴδιον αὐτὸς ἑαυτοῦ σκάψει τάφον · τοιοῦτο γὰρ δὴ φιλεῖ[4] γίνεσθαι τὸ τῶν ἀπαιδεύτων τέλος.

ἐνεργ-ητικός, ή, όν (← ἐν + ἔργον) · ῥήματα ἐνεργητικὰ [4] ὥσπερ τὸ *λύω*, τὸ *λέγω*, κ.τ.λ.
γέλοιος, α, ον (← γελάω) · ὅταν ἀκούω γέλαια, γελῶ. [7]
παροιμ-ία, ἡ = λόγος σοφὸς πολλάκις λεγόμενος.
αἰνέω, -αινέσω, -ῄνεσα, -ῄνεκα, -ῄνημαι, -ηνέθην = λέγω καλὰ περί τινος.
διστ-άζω = οὐκ οἶδα τί ποιήσω.
τρέω = φοβοῦμαι.
σκάπτω = αἴρω γῆν.
φύσκων, ωνος, ὁ = ἄνθρωπος σῑτευτός. [11]
θεμέλι-ος, ον · θέντες πρῶτον τοὺς θεμελίους λίθους, ποιοῦμεν οἶκον ἐπὶ αὐτῶν.
οἴκ-ημα, ατος, τό (← οἰκέω) = τόπος ὅπου οἰκοῦμεν, οἶκος.
ἰδιώτ-ης, ου, ὁ (← ἴδιος) = ἄνθρωπος ἴδιος, μὴ ἔχων ἐπιστήμην μηδὲ τέχνην.
ἀπαίδ-ευτος, ον (← παῖς) = ἰδιώτης.



τάφρος, ἡ. σκάπτουσι τάφρον.



τάφος, ὁ

8 ὁ ἀόριστος χρόνος

ἅπερ ἐγὼ ἔπραξα χθές, σὺ πράξεις αὔριον, ἀεὶ γὰρ ὑστερεῖς.
τίς τὰ φύλλα ἔκοψε[6] τῆς καλῆς ἐκείνης βίβλου;[9]
ἐγώ.
ἔκοψας,[6] νὴ Δία, ἀμβλείᾳ τῇ μαχαίρᾳ[6] · πρὸς δὲ τούτοις ῥυπαροί[5] εἰσι σοὶ οἱ δάκτυλοι.[6]
νίψω τὼ χεῖρε. ← τὰς δύο χεῖρας
ἔδωκα ἐκείνῃ παρθένῳ[12] μῆλον, ὁ δὲ παῖς ἥρπαξε · τίς ποτε ἐδίδαξεν αὐτὸν τὸ τέχνημα τόδε;
κακοδαίμων τις.
τίς ἔβαλε τὸν λίθον;
ὁ παῖς ὁ ἐν τῷ κήπῳ.[4]
παράνομός τις ἐστί.
χθὲς διέθραυσε πλάκα ὑαλίνην ἐν τῇ τοῦ φροντιστηρίου τοῦ ἐμοῦ θυρίδι.
ουχί · ὁ αἴλουρος ἦν ὁ ἁμαρτωλός · ἐμήνυσαν αἱ ῥῖνες αἱματηραὶ τὴν ἁμαρτίαν τοῦ ζῴου.
τὴν βίβλον[9] ἥν ἔδωκά σοι χθὲς ἐγχειρίσεις [ἐγχειριεῖς] τῇ ἀδελφῇ · ἀγαθὴ γὰρ ἡ παρθένος[12] καὶ βιβλοῦ ἀγαθῆς ἀξία.
τίς ᾠκοδόμησε τοῦτο τὸ ἱερόν;
τέκτων τις.
τέκτων μὲν οὔ, ἐργάτης δέ τις λίθων.
ὁ γὰρ ἀληθὴς τέκτων ποιητής έστι · καὶ τὸ οἰκοδόμημα ὅπερ ᾠκοδόμησε χθὲς ποίημα μένει λίθινον αὔριον[15]

ἀόριστ-ος, ον · ὁ ἀόριστος χρόνος ὡς τὸ *ἔπραξα*, τὸ *ἔκοψας*, κ.τ.λ.
σήμερον = τῇδε τῇ ἡμέρᾳ.
χθές = μίᾳ ἡμέρᾳ πρὸ τῆς σήμερον.
αὔριον = μίᾳ ἡμέρᾳ μετὰ τὴν σήμερον.
ὑστερ-έω (← ὕστερος) = ὕστερός εἰμι.
νὴ Δία = πρὸς τοῦ θεοῦ τοῦ οὐρανοῦ (Ζεύς, ὁ).
ἀμβλ-ύς, εῖα, ύ ↔ ὀξύς.
νίπτω = ὕδατι ποιῶ τι καθαρόν. [5]
ἁρπάζω = αἱρέω.
τέχν-ημα, ατος, τό (← τέχνη) = τέχνῃ πεποιημένον τι.
κακοδαίμ-ων, ον (← κακός + δαίμων) = ἔχων κακὸν δαίμονα ἐν ἑαυτῷ ἢ κακὸς δαίμων ὤν.
παράνομ-ος, ον (← παρά + νόμος) = ὢν παρὰ τὸν νόμον.
διαθραύω = ἀναιρέω.
φροντ-ιστήριον, τό (← φροντ-ίζω = τῷ νῷ σκοπῶ) = τόπος ὅπου φροντίζομεν.
ἁμαρτωλ-ός, όν (← ἁμαρτάνω) = ἡμαρτηκώς.
μην-ύω = φαίνω.
αἱματηρός, ά, όν (← αἷμα) = αἵματι ῥυπαρός. [5]
ἁμαρτ-ία, ἡ (← ἁμαρτάνω) · ὅταν ἁμαρτάνω, ποιῶ ἁμαρτίαν.
ἐγχειρίζω (← ἐν + χείρ) = τίθημί τι εἰς τὰς χεῖράς τινος.
οἰκοδομέω (← οἶκος) = ποιῶ οἰκίαν ἢ ὅμοιον οἰκίᾳ τι.
ἐργάτ-ης, ου, ὁ (← ἔργον) = ἄνθρωπος ἐργαζόμενος.
οἰκοδόμ-ημα, ατος, τό (← οἰκοδομέω) = οἰκία.
ποί-ημα, ατος, τό ← ποιέω.
λίθ-ινος, η, ον (← λίθος) = ὢν ἐκ λίθου.









α' · φύλλον, τό. β' · μῆλον, τό. γ' · πλάξ ὑαλίνη [πλάξ, πλακός, ἡ, ὑάλ-ινος, η, ον (← ὕαλος, ἡ)]. δ' · θυρίς, ίδος, ἡ. ε' · αἴλουρος, ὁ, ἡ. ς' · ῥίς, ἡ, ῥῖνός. ζ' · τέκτων, ονος, ὁ.

καὶ ἀεί, ὡς ἔστιν ἰδεῖν ἐν τῇ Αἰγύπτῳ.
τίς εἶδε τὸν παῖδα ὅς ἀπέκοψε τὸν κλάδον τοῦ δένδρου[4] ἐκείνου;
ἄγε αὐτὸν δεῦρο · μαστιγώσω[11] τὸν κακοῦργον.[11]
σήμερον πάντως οὐ δειπνήσει.
ἢ δειπνήσει γε μετὰ τῶν σῡῶν.[11]
ἐβούλευσα αὐτῷ καλὴν βουλήν.
μάτην.
οὐκ ἤκουσε.
κωφός[8] ἐστι.
κωφὸς[8] δὴ πρός γε τὴν τῶν σοφῶν βουλήν.
χθὲς ἔκλεισε τὰ ὦτα πρὸς τὸν τοῦ σοφοῦ Σολομῶνος λόγον · τοῦ ἄφρονος οἱ ὀφθαλμοί εἰσιν ἐπ᾽ ἄκρα τῆς γῆς.
ἤκουσε τοῦ μὲν λόγου, τὸν δὲ νοῦν οὐ κατέλαβε.
ὁ ἀδελφὸς αὐτοῦ ὁ ἄφρων ἐπλήρωσε τὸν ἐγκέφαλον διανοημάτων κενῶν.[13]
καὶ ἐπίστευσε τῷ ἀδελφῷ μᾶλλον ἢ τῇ ἁγίᾳ[13] γραφῇ.
ὢ τοῦ ἀτυχήματος.

Αἴγυπτος, ἡ = χώρα καὶ νῦν οὕτω καλουμένη.
ἀπο-κόπτω ← ἀπό + κόπτω. [6]
κλάδος, ου, ὁ = μέρος τοῦ δένδρου [4] ἐφ᾽ οὗ τὰ φύλλα ἐστίν.

μάτην = εἰς οὐδέν.


ὁ παῖς κλείει τὰ ὦτα [κλείω. οὖς, τό, ὠτός].

Σαλομών, ῶνος, ὁ = τρίτος βασιλεὺς τῶν Ἰουδαίων [13] ὁ σοφός ὤν.
ἄφρων, ον ↔ σοφός.
ἄκρος, α, ον = ὑπὸ πάντων ὤν.

πληρ-όω = ποιῶ τι πλῆρες (πλήρης, ες ↔ κενός [13]).
ἐγ-κέφαλος, ὁ (← ἐν + κεφαλή) = τὸ ἐν τῇ κεφαλῇ ὄν.
διανό-ημα, ατος, τό (← διά + νοῦς) = πεφροντισμένον τι.
ἀτυχ-ημα, ατος, τό (← τύχη) = κακὴ τύχη τις.

9 *ἡ ἀπαρέμφατος ἔγκλισις καὶ αἱ μετοχαί*

ἆρά γε εἶδες ἐκεῖνον τὸν παῖδα ἐν τῷ κήπῳ[4] περιπατοῦντα;[10]
εἶδον.

ἀπαρ-έμφατος, ον } ἡ ἀπαρέμ-
ἔγ-κλισις, εως, ἡ } φατος ἔγκλισις · ὡς τὸ *λύειν* ἢ τὸ *λῦσαι* ἢ τὸ *λυθῆναι* κ.τ.λ.
μετοχ-ή, ἡ · ὡς τὸ *λύσων* ἢ τὸ *λύσας* ἢ τὸ *λυθείς* κ.τ.λ.

καλὸν τὸ περιπατεῖν[10] καὶ ὑγιές, οὐ τοιοῦτον δὲ τῷ κλέψαντι τὰ μῆλα.[15]
τῑμῶσα τὴν βασίλισσαν[8] τῑμᾷς τὴν πόλιν ἧς δὴ ἐκείνη κεφαλή ἐστιν.
περὶ τοῦ ὑπνοῦσθαι οὐδὲν ἀκριβῶς ἐπιτάττω · ἓν μόνον λέγω, οὐχ ὑγιὲς τὸ ὑπερβάλλειν ὀκτὼ ὥρας ἐν τῇ κοίτῃ.
ἀληθῆ λέγεις.
τοῖς γε ὑγιὲς ἔχουσι τὸ σῶμα.
τὸ γὰρ ἀργεῖν διαφθείρει τό τε σῶμα καὶ τὴν ψῡχήν.
μάλιστα · καὶ τὸ πράττειν ὁτιοῦν ἐναντίον τῷ συστήματι τοῦ ὅλου διαφθέρει τὴν ψῡχήν, ὡς λέγει ὁ τῶν καλῶν ἔργων ἀπόστολος, ὁ Ἰάκωβος[9] · εἰδότι τὸ καλὸν καὶ μὴ ποιοῦντι, αὐτῷ ἁμαρτία[15] ἐστίν.
τῷ λαλοῦντι πολλὰ πολὺς ὁ κίνδῡνος.
ἐν δὲ τῷ ὀλίγα λέγειν μεγάλη ἡ σωτηρία.
μεγάλη βιβλιοθήκη χρησίμη ἐστὶν εἰς τὸ πολλὰ εἰδέναι.
πῶς γὰρ οὔ;
πολλὰς βίβλους[9] δυνατὸν τοὺς ἀσθενεῖς ἐγκεφάλους[16] κυκᾶν.
τὸ λεγόμενον, πολλοὶ ὄντες οἱ μάγειροι διαφθείρουσι τὸν ζωμόν.
καὶ κατὰ τὸν αὐτὸν τρόπον παμπληθὴ ἔπιπλα ὑπὲρ τὸ πρέπον καὶ τὸ ἡδὺ ἐκπληροῖ τὸ οἴκημα[14] καὶ ταράττει[6] τοὺς εἰσβαίνοντας.
σοφῶς. ἀεὶ κακὸν τὸ ὑπερβαίνειν.
τὴν σοφίαν[6] λέγεις τοῦ Ἀριστοτέλους

ὑγι-ής, ές = καλῶς ποιῶν (ἢ ἔχων) κατὰ τὸ σῶμα ἢ τὴν ψῡχήν.
κλέπτω = ἀδίκως ἀφαιρῶ τὰ μὴ ἐμά.
ἐπιτάσσω (← ἐπί + τάσσω) = κελεύω.
ὑπερβάλλω (← ὑπέρ + βάλλω) = βάλλω τι ὑπέρ τι, ἁμαρτάνω.


ἡ παῖς ὑπνοῦται (← ὑπν-όω ← ὕπνος, ὁ).

κοίτ-η, ἡ · νυκτὸς ὑπνούμεθα ἐν τῇ κοίτῃ.
ἀργέω = οὐκ ἐργάζομαι.

ὁστισοῦν, ὁτιοῦν (← ὅστις + οὖν) = πάντες καὶ ἕκαστοι.
σύστημ-α, ατος, τό (← σύν + ἵστημι) = ὅλον τι ἐκ πολλῶν μερῶν.
βιβλιο-θήκη, ἡ (← βίβλος [9] + τίθημι) = ὅπου τίθεμεν τὰς βίβλους.
ἀσθεν-ής, ές ↔ ἰσχῡρός.
κυκ-άω = κῑνέω.


οἱ μάγειροι (← μάγειρ-ος, ὁ) παρασκευάζουσι τὸν ζωμόν (← ζωμός, ὁ).

παμ-πληθής, ές (← πᾶς + πλῆθος) = πλεῖστος.
ἔπιπλα, τά = διαφέροντα πράγματα ἐν τῇ οἰκίᾳ.
πρέπω = φαίνομαι. πρέπει = καλόν ἐστιν.
ἐκπληρ-όω (← ἐκ + πληρ-όω [16]) = τὸ πᾶν πληρόω.
εἰσβαίνω ← εἰς + βαίνω.
ὑπερβαίνω (← ὑπέρ + βαίνω) = βαίνω ὑπέρ τι, παρὰ τὸν νόμον πράσσω.
Ἀριστοτέλης, ους, ὁ = μέγας φιλόσοφος (φιλόσοφος, ὁ = φίλος τῆς σοφίας [6]).

· ἐν τῷ μέσῳ ἀεὶ ἡ σωτηρία.

10 ὁ παρατατικὸς καὶ ὁ παρακείμενος

ἔτυπτον ἐγὼ τὸ παιδάριον, ὅτε εἰσελθὼν ὁ ἀστυνόμος ἥρπασέ[15] με εἰς τὸ δεσμωτήριον.
γέγραφα ἐπιστολὴν[7] πρὸς τὸν πατέρα σου λέγων παῖδά σε εἶναι κόσμιον[7] τοὺς τρόπους.
ἐτύγχανον ὕπτιος κείμενος ἐν τῇ κοίτῃ[17] ὅτε μέγας τις μῦς ὑπερπηδήσας τὸ στρώματα δεινόν μοι ἐνεποίησε φόβον.
δικαίως γε.
τὰ νῦν δὲ ποῦστι[5] τὸ ἀναιδὲς θρέμμα;[11]
κέκαφεν αὐτὸ τὸ κυνάριόν μου τὸ ἐκ τῆς Ὀρεινῆς.
δίκαια ἔπαθεν.
ποῦστι[5] τὸ μελανδόχιόν μου;
εὕρηκα, εὕρηκα, ἐν τῷ λουτρῶνι.
παράδοξον[11] τοῦτο · οὐκ ἔγραφον ἔγωγε ἐν τῷ λουτρῶνι.
οὐχ ὁρῶ τὸν κάλαμον.[5]
ἰδού · εὗρον ἐν τῷ δειπνητηρίῳ.
ἔπαιζεν ὁ αἴλουρος[15] τῷ καλάμῳ[5] σου καὶ τῷ πετάσῳ,[5] καὶ τῇ χλαμύδι,[12] καὶ ταῖς κρηπῖσι,[10] καὶ δεινόν τινα ἐποίει θόρυβον.
σφάξον τὸ θρέμμα.[11]

παρατατικός, ή, όν (← παρά + τάσσω) · ὁ παρατατικὸς χρόνος ὡς τὸ *ἔλυον* ἢ τὸ *ἐπαυόμην* κ.τ.λ.
παράκειμαι (← παρά + κεῖμαι) · ὁ παρακείμενος χρόνος ὡς τὸ *γέγραφα* ἢ τὸ *τέταγμαι* κ.τ.λ.
τύπτω = ἰσχῡρῶς βάλλω τι εἴς τινα.
παιδάρ-ιον, τό = μικρὸς παῖς.
εἰσέρχομαι ← εἰς + ἔρχομαι.
ἀστυ-νόμος, ὁ = ἄνθρωπος φυλάσσων τὴν πόλιν ὅς καταλαβὼν τοὺς κακούργους [11] ἄγει αὐτοὺς εἰς τὸ δεσμωτήριον (← δεσμ-ωτήριον, τό).
ὕπτι-ος, α, ον (↔ πρᾱν-ής, ές) = κείμενος ἔχων τὸ πρόσωπον εἰς ἄνω.
πηδ-άω = λιπὼν τὴν γῆν κῑνῶ ἐμαυτὸν εἰς ἄνω.
ὑπερπηδ-άω ← ὑπέρ + πηδάω.
ἐμποι-έω ← ἐν + ποιέω.
ἀναιδής, ές (← αἰδώς, όος, ἡ) = μὴ ἔχων αἰδῶ, αἴτιος καὶ μὴ κακῶς ἔχων περὶ τοῦ πραχθέντος.
κάπτω = ἐσθίω ἢ πίνω τι ὡς τάχιστα.
κυν-άριον, τό = κύων [9] νέος.
ὀρεινός, ή, όν ← ὄρος, εος, τό.
Ὀρεινή, ἡ (← ὀρεινός) = νῆσος τῆς Σκωτίας. [10]
παίζω (← παῖς) = πράσσω ὡς οἱ παῖδες. οἱ δὲ παῖδες παίζουσι τῇ βέμβῑκι [11] καὶ πολλοῖς ἄλλοις.
θόρυβ-ος, ὁ · ὅταν βαρέα πέσῃ εἰς τὴν γῆν, ἀκούομεν θόρυβον.
σφάζω = ἀποκτείνω.











α′ · μῦς, ὁ, μυός. β′ · στρῶμα, ατος, τό. γ′ · μελαν-δόχιον, τό. δ′ · δειπνητήριον, τό. ε′ · λουτρών, ῶνος, ὁ.

οὐδαμῶς[10] · αὐτὸς σὺ αἴτιος, ὃς δὴ ἔλιπες τὸ οἴκημα[14] ἐν πάσῃ ἀκοσμίᾳ, ὁ δὲ αἴλουρος[15] πεπλήρωκε[16] τὸ ἔργον σου.
δίκαια λέγεις.
καὶ ἐγὼ μεγάλην ὤφληκα μωρίαν.
μετανοῶ ἐπὶ τῷ πράγματι.
ἔρρωσο.[14]

οὐδαμ-ῶς = οὐδενὶ τρόπῳ.
ἀκοσμ-ία, ἡ ↔ κόσμος.
ὀφλ-ισκ-άνω, ὀφλήσω, ὦφλον, ὤφληκα, ὤφλημαι = αἴτιός εἰμι.
μωρ-ία, ἡ ↔ σοφία. [6]
μετανο-έω (← μετά + νοῦς) = τὸν νοῦν ἄλλως ἔχω πρός τι.

11 *ῥήματα[4] εἰς -μι*

ἄπιθι, ἄπιθι, ἄκλητος καθίζεις ἐπ' ἐκείνῃ τῇ ἕδρᾳ[5] · στήσω σε ἐνταῦθα.
ἕστηκα ὅπου ἕστηκα, καὶ καθίζω ὅπου καθίζω.
σοὶ ἔδωκα τὴν βίβλον[9] τὴν κομψήν,[7] σὺ δὲ ἔδωκας τῷ παιδισκαρίῳ τούτῳ · ἐς τοσοῦτον ἆρα καταφρονεῖς μου, καὶ τοῦ δώρου μου;
συνῆκα ἃ λέγεις · ἡ δὲ παρθένος[12] μᾶλλον τῆς βίβλου ὀνήσεται ἢ ἐγώ.
μάλα ταπεινόφρων σύ γε.
οὐχ οὕτως · φιλῶ[4] τὴν παρθένον.[12]
πιθανόν.
οἱ πολλοὶ τί φασι περὶ τοῦ Γλάδστωνος;*[10]
θαυμάζουσι αὐτὸν δικαίως ὡς δεινὸν μὲν περὶ τοὺς λόγους, τῶν δὲ περὶ τὰς τῆς πόλεως προσόδους ἐμπειρότατον, καὶ δὴ καὶ τῶν τε Ἰταλικῶν καὶ τῶν Ἑλληνικῶν[3] γραμμάτων ἐπιστήμονα.

ἄπειμι ← ἀπό + εἶμι.
ἄκλητ-ος, ον (← καλέω) = μὴ κεκλημένος.
καθίζω (← κατά) = χρῶμαι ἕδρᾳ. [5]
παιδισκ-άριον, τό = ὑποκοριστικὸν [7] τοῦ *παιδίσκ-η, ἡ* (← παῖς) = παρθένος, ἡ. [12]
καταφρον-έω (← κατά + φρονέω) ↔ τιμάω.
δῶρον, τό (← δίδωμι) = τὸ δοθὲν ἀντὶ μηδένος.
συνίημι (← σύν + ἵημι) = τῇ γνώμῃ αἰσθάνομαι.
ὀνίνημι, ὀνήσω, ὤνησα, ὠνήμην, ὠνήθην = συμφέρει μοι.
ταπεινό-φρων, ονος, ὁ, ἡ = ὀλίγον ποιούμενος ἑαυτόν.
πιθαν-ός, ή, όν (← πείθω) = πείθων.
πρόσοδος, ἡ (← πρός + ὁδός) = ἀργύριον πρός τινα ἐρχόμενον.
ἔμπειρος, ον (← πειράομαι) = πεπειραμένος εἰδώς.
Ἰταλ-ικός, ή, όν ← Ἰταλ-ία, ἡ = χώρα καὶ νῦν οὕτω καλουμένη.
ἐπιστήμ-ων, ον (← ἐπιστήμη) = σοφός.

ἀληθέστατα λέγεις · εἰ κατέστησαν αὐτὸν καθηγητὴν τῆς Ἑλληνικῆς[3] φιλολογίας ἐν τῷ τοῦ Βοσπόρου πανεπιστημίῳ,* οὐκ ἐλάττων ἂν ἐγένετο Βοεκίου,* τοῦ Ἑρμάννου,* τοῦ Μυλλέρου,* καὶ τῶν ἄλλων Γερμανῶν ὅσοι περὶ τὴν πολυμαθίαν ἐν τοῖς εὐδοκιμοῦσι.

καὶ οὕτως γε ἐτύγχανεν ἂν εὐτυχῶς διαφυγὼν τόν τε πολὺν θόρυβον[18] καὶ διαφθορὰν τοῦ βίου πολῑτικοῦ.

δυνατὰ λέγεις · ὅμως οὐκ ἄν τις τυγχάνοι διαπεφευγὼς τὴν εἱμαρμένην.

καθηγ-ητής, οῦ, ὁ = διδάσκαλ-ος, ὁ (← διδάσκω).
φιλολογ-ία, ἡ ← φίλος + λόγος.


τὸ πανεπιστήμιον* τοῦ Βοσπόρου. [πανεπιστήμιον,* τό. Βόσπορ-ος, ὁ]

Βοέκιος,* ὁ, κ.τ.λ. · οὗτοι ἦσαν καθηγηταί.
Γερμανός, ὁ ← Γερμανία, ἡ = χώρα καὶ νῦν οὕτω καλουμένη.
πολυ-μαθία, ἡ (← πολύς + μανθάνω) = μεγάλη ἐπιστήμη.
εὐδοκιμ-έω = ἔνδοξός [10] εἰμι.
εὐτυχ-ής, ές (← εὖ + τύχη) = ἔχων καλὴν τύχην.
δια-φεύγω ← διά + φεύγω.
διαφθορ-ά, ἡ (← διαφθείρω) = ὅταν τις διαφθειρῇ, γίγνεται διαφθορία.
πολῑτ-ικός, ή, όν ← πόλις.
μείρομαι, ἔμμορε, εἵμαρται = δέχομαι τὸ μέρος μου.

12 ῥήματα[4] σύνθετα

ὁ φίλος μου ὁ ἀληθῶς φιλικὸς περιέβαλε τοῖς ὤμοις μου τὴν χλαῖναν[10] σκέπην ψῦχους.

ὑπόδησον τὰ ὑποδήματά[10] μου.

ἀπέβαλον τὰ ὑποδήματα[10] τὰ ἀρχᾱϊκά · κομψότερα τὰ καινότροπα.[7]

χάριν ἔχω σοι τοῦ ἀγάλματος.[11]

σήμερον[15] μεταβέβληκεν ὁ οὐρανὸς εἰς τὸ χεῖρον.

κατὰ φύσιν τοῦτο ἐν τῇ ἡμετέρᾳ πατρίδι οὗ οὐδὲν ἔχει στάσιμον ὁ οὐρανός.

χθὲς[15] κατέβην εἰς τὸ χῶμα, καὶ εἶδον τὸ μέγα ἀτμόπλοιον.*

πότερον ἤρεσέ[9] σοι ἢ οὔ;

ὑπερεθαύμασά γε.

σύν-θετος, ον (← σύν + τίθημι) = ἐκ δύο ἢ πολλῶν εἰς ἓν πεποιημένος.
φιλικός, ή, όν (← φίλος) φίλου ὤν.
περιβάλλω (← περί + βάλλω) = βάλλω τι περὶ ἐμοῦ.
ὦμος, ὁ · ἔχομεν δύο ὤμους καὶ περιβάλλομεν αὐτοῖς τὴν χλαῖναν. [10]
σκέπ-η, ἡ = πρᾶγμά τι φυλάσσον.
ψῦχος, εος, τό · ὅταν ἡ χιὼν [6] πίπτῃ, ψῦχός ἐστι.
ὑποδέω ← ὑπό + δέω.
δέω ↔ λύω.
ἀποβάλλω ← ἀπό + βάλλω.
καινό-τροπος, ον = ὢν κατὰ νέον τρόπον
ἀρχᾱϊκός, ή, όν (← ἀρχή) ↔ καινότροπος.
μεταβάλλω (← μετά + βάλλω) = γίγνομαι εἰς ἄλλον τρόπον.
στάσιμος, ον (← ἵστημι) ↔ κῑνούμενος.
καταβαίνω ← κατά + βαίνω.
χῶμα, ατος, τό ↔ τάφρος. [14]


ἀτμόπλοιον,* τό.

ὑπερθαυμάζω ← ὑπέρ + θαυμάζω.

ἆρα οὐκ εἰσέβης;
εἰσέβην γὰρ καὶ τὸν ναύκληρον εἶδον καὶ τῶν ναυβατῶν δεινὸν πλῆθος.
ἔπειτα δὲ κατέβην εἰς τὴν κοίλην καὶ ἐθαύμασα ἄπειρα σάγματα πίθων καὶ λαρνάκων καὶ κιστῶν καὶ κοφίνων καὶ ἄλλης παντοδαπῆς κατασκευῆς.
ἔπειτα δὲ ἀνέβην, καὶ προσέβλεψα τὸν κυανοῦν[4] οὐρανόν, καὶ χάριν εἶχον τῷ Θεῷ.
τελευταῖον δὲ συνέλεξα τὰ σκεύη μου, καὶ ἕστηκα ἐνώπιόν σου ἐν ὁλοκλήρῳ δέρματι.
ἀγαθῇ τύχῃ · ἀεὶ εὐτυχεῖς · πανταχοῦ πίπτεις, τρόπον τῶν αἰλούρων,[15] τοὺς πόδας ἔχων ἐμπέδους ἐν τῷ δαπέδῳ.
οὐ τυφλώττω · καὶ ἕκαστα εἴωθα πράττειν προσκόποις τοῖς ὀφθαλμοῖς.
σοφὸς σύ γε.

εἰσβαίνω ← εἰς + βαίνω.
ναύκληρ-ος, ὁ = ἄρχων νεώς τινος.
ναυβάτ-ης, ου, ὁ (← ναῦς + βαίνω) = βαίνων ἐπὶ νεώς.
κοῖλος, η, ον = ἔχων χωρίον κενὸν [13] ἐν ἑαυτῷ → ἡ κοίλη ναῦς.
ἄπειρος, ον = μὴ ἔχων τέλος.
σάγμα, ατος, τό = κείμενόν τι.
παντο-δαπός, ή, όν = ὢν πολλῶν τρόπων.






β'
α'
γ'
δ'

α' · πίθος, ὁ. β' · λάρναξ, ακος, ἡ. γ' · κίστη, ἡ. δ' · κόφιν-ος, ὁ.
κατασκευ-ή, ἡ = τὸ παρασκευάζειν, τὰ παρεσκευασμένα.
ἀναβαίνω ← ἀνά + βαίνω.
προσ-βλέπω ← πρός + βλέπω.
τελευτ-αῖος, α, ον = ἐληλυθὼς εἰς τὸ τέλος.
συλλέγω ← σύν + λέγω.
σκεῦος, εος, τό · ὁ πίθος, ἡ λάρναξ, ἡ κίστη, ὁ κόφινός εἰσιν σκεύη.
ἐνώπ-ιος, ον = ὢν ἐν προσώπῳ .
ὁλόκληρ-ος, ον = ὅλος.
δέρμα, ατος, τό = μέρος τοῦ σώματος τὸ ἐπὶ ὅλου τοῦ σώματος.
εὐτυχ-έω = εὐτυχής [20] εἰμι.
πανταχοῦ = ἐν παντὶ τόπῳ.
ἔμπεδος, ον = ὢν ἐπὶ τῆς γῆς.
δάπεδον, τό = γῆ ἡ μὴ ὀρεινή. [18]
τυφλ-ώττω = οὐ δύναμαι βλέπειν.
εἴωθα = ἔσχηκα τρόπον.
πρόσκοπος, ον (← πρός + σκοπέω) =σκοπῶν πρός τι.

13 ἡ ὑποτακτικὴ ἔγκλισις[16]

δίδωμί σοι ταύτην τὴν βίβλον[9] ἵνα καταλαμβάνῃς ὅσον ἐστὶ χαλεπὸν τὸ πρᾶγμα περὶ οὗ ἔγραφες.
ἐὰν μὴ ἐκπονῇς τὰ διδάγματα, οὐ διδάξω σε.
ἢν τὸν δάκτυλον[12] κόψῃς[6] ἐκείνῃ τῇ

ὑποτακ-τικός, ή, όν (← ὑπό + τάξις) = ὑπὸ τάξεως ὤν.
ἡ ὑποτακτικὴ ἔγκλισις · ὡς τὸ *λύω, λύῃς* κ.τ.λ.
ἐκπονέω (← ἐκ + πόνος) = ποιῶ πόνον εἰς τὸ τέλος.
δίδαγμα, ατος, τό (← διδάσκω) = δεδιδαγμένον τι.

ὀξείᾳ μαχαίρᾳ,[6] οὐ παρ’ ἐμοὶ ἡ αἰτία.
ἐκτέλεσον τὸ ἔργον τὸ προκείμενον, ἵνα μή σε ταράσσῃ[6] αὔριον[15] τὰ τῆς σήμερον[15] ἡμέρας ὑστερήματα.
λαβὼν τὸ σκάλευθρον[5] κῑ́νει τὸ πῦρ, ἵνα μὴ πνῑ́γῃ τὴν φλόγα[9] τὸ βάρος τῶν ἀνθράκων.
ἐὰν μὴ φυλάττῃ τὴν φλόγα,[9] καύσεις τὰς χειρῖδας τοῦ ῑ̔ματίου.
φέρε δὴ τὸν Ὅμηρον ἐκ τοῦ θηκίου, ἵνα ἀκούω τί λέγει περὶ τοῦ κάλλους τῶν γυναικῶν.
ἰδού.
ἀνάγνωθι.
καλὴ καὶ μεγάλη καὶ ἄ̓γλαὰ ἔργ’ εἰδυῖα. (Ὅμ., Ὀδ. δ’, 418)
φεῦ · ὡς εὖ λέγεις. οὐκ ἀργαὶ[11] αἱ γυναῖκες αἱ παρὰ τῷ ἀοιδῷ.
μιμήτριαί* γε τῆς ἐν τοῖς περὶ τὸν βίον σοφῆς προστάτιδος Παλλάδος.
ῥίψον τὸ κυνάριον[18] εἰς τὸ ὕδωρ, ἵνα μανθάνῃ τὸ νήχεσθαι.
ἰδού - νήχεται - ὡς εὐμαθὲς τὸ θρέμμα.[11]
ποίησον σὺ κατὰ ταὐτά.
οὐδαμῶς[10] · φοβοῦμαι μὴ βαπτίσῃ με τὸ κῦμα.
γελοῖα[14] λέγεις · ἐλαφρότερον[14] γὰρ τὸ σῶμα τὸ ἀνθρώπινον τοῦ ὕδατος.
οὐ καταποντίσει σε τὸ ὕδωρ ἀλλὰ ὁ φόβος.
πιθανόν[19] · ὅμως ἀντέχομαι τῆς ξη-

ἐκτελ-έω (← ἐκ + τέλος) = ἐκπονέω.
πρόκειμαι ← πρό + κεῖμαι.
ὑστέρ-ημα, ατος, τό = ὑστερημένον τι (← ὑστερ-έω [15]).
πνῑ́γ-ω = παύω τὸ πνεῦμα.
βάρος, ους, τό = τὸ βαρὺ εἶναι.



ἄνθραξ, ακος, ὁ



χειρ-ίς, ῖδος, ἡ

καίω = ἄρχομαι πυρός.
ῑ̔μάτιον, τό = ἐσθής. [12]
Ὅμηρος, ὁ = ὁ μέγας ποιητὴς τῶν Ἑλλήνων (← Ἕλλην, ηνος, ὁ).
θήκ-η, ἡ (← τίθημι) · τίθημί τι ἐν τῇ θήκῃ.
θηκ-ίον, τό = ὑποκοριστικὸν [7] τοῦ *θήκη*.
κάλλος, ους, τό = τὸ καλὸν εἶναι.
ἀναγιγνώσκω (← ἀνά + γιγνώσκω) ἀναγιγνώσκω γράμματα, βίβλον [9] κ.τ.λ.
ἄ̓γλαός, ή, όν = λαμπρός.
φεῦ = ὡς θαυμάζω.



ἀοιδός, ὁ.
ᾄδω, ᾄσομαι, ᾖσα, ᾖσμαι, ᾔσθην.

μῑμήτ-ρια,* ἡ (← μῑμ-ητής, οῦ, ὁ) = ποιοῦσα τὰ αὐτὰ ἣ ἄλλος τις.
προστάτ-ις, ιδος, ἡ (← προστάτ-ης, ου, ὁ ← πρό + ἵστημι) = φυλάσσουσα.
Παλλὰς (Ἀθήνη), άδος, ἡ = θεὸς τῶν Ἑλλήνων.
ῥίπτω = βάλλω.
νήχομαι = ἐλαύνομαι ἐν τῷ ὕδατι ὤν.
εὐμαθ-ής, ές (← εὖ + μανθάνω) = εὖ μανθάνων.
βαπτ-ίζω = βάλλω τινα ὑπὸ ὕδωρ.
κῦμα, ατος, τό = ὃ γίγνεται ἐπὶ τῆς θαλάσσῃ διὰ τὸν ἄνεμον. [5]
ἀνθρώπ-ινος, η, ον (← ἄνθρωπος) = ὢν ἀνθρώπου.
καταποντ-ίζω = βαπτ-ίζω.
ἀντέχω (← ἀντί + ἔχω) = ἀντί τινος ἔχω.
ξηρός, ά, όν = μὴ ἔχων ὕδωρ ἐν ἑαυτῷ.

ρᾶς.
σοφὸς σύ γε, δεξιώτερον δὲ τὸ ζῷον.
χαῖρε.

δεξιός, ά, όν · οἱ πολλοὶ γράφουσι τῇ δεξιᾷ χειρί.
δεξιός = σοφός, δεινός.

14 ἡ εὐκτικὴ ἔγκλισις[16]

1. ἔλεγεν ὅτι ἀνδρὶ νέῳ καὶ σφοδρῷ[5] οὐ ῥᾴδιον εἴη κολάζειν τὰ πάθη.

2. ἐπόνει[6] σταθερῶς ἵνα ἆθλον λάβοι.

3. εἴ τις αἵρεσίν μοι δοίη, σπουδάζοιμι ἂν περὶ τὴν Ἑλληνικὴν[3] γλῶσσαν μᾶλλον ἢ περὶ τὴν Ἰταλικήν.[19]

4. μὴ γένοιτο.

εὐκτικός, ή, όν = βουλόμενος.
ἡ εὐκτικὴ ἔγκλισις [16] ὡς τὸ *λῡ́οιμι*, *λῡ́οις* κ.τ.λ.
κολάζω = ἰσχῡρῶς ποιῶ τινα ἤ τι ὀρθὸν γενέσθαι.
σταθερ-ός, ά, όν = στάσιμος. [20]
ἆθλον, τό = τὸ διδόμενον τῷ ἀγῶνά τινα νῑκήσαντι.
αἵρεσις, εως, ἡ (← αἱρέω) = τὸ αἱρεῖσθαι.
σπουδάζω = περὶ πράγματός τινος οὐ παύομαι πράσσειν.

ὁ φίλος μου συνεβούλευσέ μοι πηδᾶν[18] εἰς τὸ ὕδωρ, ὅπως κυνὸς[9] δίκην μάθοιμι τὸ νήχεσθαι[22] · ἐγὼ δὲ οὐκ ἐς τοσοῦτο ἥκω μωρίας.[19]
εὖ λέγεις · ὁμολογῶ σου τερπνότερον μὲν εἶναι τὸ ὀρχεῖσθαι, χρησιμώτερον δέ ποτε τὸ νήχεσθαι[22] ἔν γε τῇ ναυᾱγίᾳ.
τῶν γνωρίμων τῶν ἐμῶν τις εἶπε ὅτι ἀσκοῖ τὸ νήχεσθαι,[22] ἵνα διαφεύγοι[20] τοὺς κινδῡ́νους τῆς θαλάσσης.
σοφὸς ἐκεῖνος.
ἀσπὶς τῶν σοφῶν ἡ πρόνοια.

συμβουλ-εύω (← σύν + βουλή) = βουλὴν δίδωμι.
κυνὸς [9] δίκην = κυνὸς τρόπον.
τερπνός, ή, όν = ἡδύς.


ὀρχέομαι

ναυᾱγ-ία, ἡ (← ναῦς) · ἐὰν ναῦς πέσῃ ὑπὸ τὴν θάλασσαν, γίγνεται ναυᾱγία.
γνώρ-ιμος, ον (← γιγνώσκω) = ἐγνωσμένος.
ἀσκέω = ἐργάζομαι τέχνην.


ἀσπίς, ίδος, ἡ

πρόνοια, ἡ (← πρό + νοῦς) = πρὸ χρόνου ἐπιστήμη.

ἀκούσας ᾄδοντος[22] τοῦ ἀλεκτρυόνος[9] εὐθὺς ἀπέσεισα τὸν ὕπνον[17] καὶ ἀπέδραμον ὡς τάχιστα ἵνα μὴ ὑστεροῖμι[15] τῶν ἀγώνων.

ἐγὼ δὲ ἄνευ τῆς χλαίνης[10] ἀπέδραμον ἵνα μὴ τοῦ λαμπροῦ θεᾱ́ματος[7] ἀστοχοῖμι.

ἐκεῖ δὲ τί εἶδες;

θῡ́λακον μέγαν εἶδον ὑδρογόνῳ* οἰδοῦντα ἀέρι.

καὶ ἄνδρα ἔντοσθεν ἀεροβατοῦντα, ἵνα γε προσχάνοι αὐτῷ πολὺς ὄχλος ὡς ἐπισκεψομένῳ δῆθεν τὸν ἄνδρα τὸν ἐν τῇ σελήνῃ.

ὦ τῆς μωρίας.[19]

μωρὸς μωρὸν[7] θαυμάζει.

καταβαίνοντα[20] αὐτὸν σφοδρότερος[5] αἰφνιδίως ἁρπάσας[15] ἄνεμος[5] παρήνεγκε εἰς τὸ κωδωνοστάσιον* τοῦ μεγάλου ἱεροῦ τῶν ἐπισκοπικῶν, καὶ ὁ ἀλεκτρυὼν[9] ὁ ἐν τῷ ἄκρῳ[16] διεκέντησε τὰ ἐντόσθια.

ὦ τοῦ δειλαίου.

ὦ τοῦ ἄφρονος[16] · δίκαια ἔπαθεν · ἀεροβατεῖν δεὶ τὰς ὄρνῑθας τὸν αἰθέρα, οὐ τοὺς ἀνθρώπους.

σείω = κῑνέω ἄνω καὶ κάτω.
ἀπο-σείω ← ἀπό + σείω.
τρέχω, δραμοῦμαι, ἔδραμον = ταχέως ἔρχομαι τοῖς ποσίν.
ἀπο-τρέχω ← ἀπό + τρέχω.
ἀστοχ-έω = ἁμαρτάνω.



α′ · θῡ́λακος, ὁ. β′ · χάσκω. γ′ · σελήν-η, ἡ. δ′ · κωδωνο-στάσιον,* τό.

ὑδρογόνον,* τό (← ὕδωρ + γίγνομαι) · τὸ ὕδωρ γίγνεται ἀπὸ δύο μερῶν ὑδρογόνου* καὶ ἑνὸς μέρους ὀξυγόνου.* [ὀξυγόνον,* τό ← ὀξύς+ γίγνομαι].
οἰδ-έω = φῡσῶμαι. [10]
ἀήρ, ἀέρος, ὁ · ὁ ἄνεμός [5] ἐστιν ἀὴρ κῑνούμενος.
ἔντοσθεν (← ἐν) ↔ ἔξω.
ἀεροβατέω (← ἀήρ + βαίνω) = βαίνω ἐν τῷ ἀέρι.
προσχάσκω ← πρός + χάσκω.
ὄχλος, ὁ = πλῆθος.
ἐπισκοπ-έω ← ἐπί + σκοπέω.
δῆθεν = δή.
αἰφνίδιος, ον = γιγνόμενος ἄνευ προνοίας.
παραφέρω ← παρά + φέρω.
ἐπισκοπ-ικός, ή, όν ← ἐπίσκοπ-ος, ὁ [6]. οἱ ἐπισκοπικοί = οἱ παρὰ τῷ ἐπισκόπῳ.
κεντ-έω = ὀξεῖ τινι τύπτω. [18]
διακεντ-έω ← διά + κεντ-έω.
ἐντόσθιος, ον (← ἔντοσθεν) = ἔντοσθεν ὤν.
δείλαιος, α, ον = κακοδαίμων. [15]
ὄρνις ὁ, ἡ, ὄρνῑθος · ὡς ὁ κύκνος ἢ ὁ γέρανος [7] κ.τ.λ.
αἰθήρ, έρος, ὁ = οὐρανός.

15 *ἡ ἂν προσθήκη*

ἔπραξας ἂν τὸ δίκαιον εἰ ἔπραξας τοῦτον.

προσθήκη, ἡ (← πρός + τίθημι) · ὡς τὸ ἄν, τὸ ἆρα, τὸ δέ, κ.τ.λ.

ἐγώ, εἰ ἔγνων τὸ ἦθός σου, οὐκ ἂν ἔδωκά σοι τὸ ἀργύριον.
τίνα δὴ ἁμαρτίαν[15] ἡμάρτηκα;
ἐσπάθησας ἀχρήστως τὰ χρήματα · εἰ γὰρ ἐτύγχανες νοῦν ἔχων, οὐκ ἂν ἀνήλωσας ἅπαντα εἰς τέρψιν ἐξίτηλον.
εἰ ἐτύγχανες σοφὸς ὤν, διέσωσας ἄν τι τῶν σήμερον[15] θησαυρῶν εἰς τὴν χρείαν τῆς αὔριον.[15]
μωρὸς[7] ἂν ἦν ὀνειροπολῶν τὴν μέλλουσαν ἡδονήν, τῆς δὲ παρούσης ἁμαρτών.
οὕτως λέγοντα ἐλέγχουσί σε οἱ μύρμηκες καὶ αἱ μέλισσαι.[12]
εἰ ὁ Βρούσσιος* ἔτυχε μὴ νῑκήσας ἐν τῇ μάχῃ τοῦ Βαννοκβούρνου,* τί ἂν συνέβη;
ἐπικρατήσασα ἡ Ἀγγλία* ἠφάνισεν ἂν τὸν Σκῶτον* ἀπὸ τῆς γῆς.
καὶ τοῦτο θεῖον[5] πάνυ ἂν ἐγένετο εὐτύχημα.
ἐνίοις μὲν οὕτως δοκεῖ, ἐνίοις δὲ οὔ.
τί ἂν συνέβη, εἰ ὁ Ἀλέξανδρος ὁ τοῦ Φιλίππου οὐκ ἐνῑ́κησε τὴν ἐν Ἀρβήλοις νῑ́κην;
διετέλει ἂν ὁ Πέρσης δεσπόζων τῆς ἀνατολῆς, καὶ οὐκ ἂν ἐκήρυσσον τὸ εὐαγγέλιον οἱ ἀπόστολοι[9] Ἑλληνιστί · εἰσήγαγε γὰρ ὁ τοῦ Φιλίππου υἱὸς τὴν Ἑλληνικὴν[3] παιδείαν εἰς ὅλην τὴν ἀνατολήν.
λαμπαδηφόρος δήπου τῆς Ἑλληνικῆς

ἦθος, εος, τό = τρόπος.



α' · σπάθη, ἡ. β' · μύρμηξ, ηκος, ὁ. γ' · Ἀγγλία,* ἡ. δ' · λαμπάς, άδος, ἡ.
σπαθ-άω (← σπάθη, ἡ) = σπάθῃ τύπτω [18], τοῦτ' ἔστιν ἀπόλλυμι χρήματα.
ἄχρησ-τος, ον = μὴ χρήσιμος.
ἀνᾱλίσκω = ἀπόλλυμι.
τέρψις, εως, ἡ = ἡδονή.
ἐξίτηλος, ον (← ἐκ, ἐξ + εἶμι) = μὴ μένων.
διασῴζω ← διά + σῴζω.
θησαυρός, ὁ (← τίθημι) = ὅπου τίθημι χρήσιμόν τι.
χρεία, ἡ · χρείαν τινὸς ἔχω = δεῖ με ἔχειν τι.
ὀνειροπολ-έω = ἐν ὕπνῳ [17] ὁρῶ καὶ αἰσθάνομαι.
ἐλέγχω = λέγω κατά τινος, ἐρωτάω.
Βρούσσιος,* ὁ = βασιλεὺς τῆς Σκωτίας.* [10]
Βαννόκβουρνος,* ὁ = τόπος τῆς Σκωτίας.* [10]
ἐπικρατ-έω ← ἐπί + κρατ-έω.
Σκῶτος,* η, ον = Σκωτικὸς* [10] ἄνθρωπος.
εὐτύχ-ημα, ατος, τό = εὐτυχές [20] τι.
ἔνιοι, αι, α = τινές.
Ἀλέξανδρος, ὁ = μέγα βασιλεύς πολλὰ ἔθνη νενῑκηκώς.
Φίλιππος, ὁ = πατὴρ Ἀλεξάνδρου.
Ἄρβηλα, τά = πόλις ὅπου ὁ Ἀλέξανδρος ἐνῑ́κησεν.
διατελ-έω (← διά + τέλος) = φέρω εἰς τέλος, μένω.
Πέρσ-ης, ου, ὁ · ὁ Ἀλέξανδρος ἐκράτησε τῶν Περσῶν.
δεσπόζω (← δεσπότης) = δεσπότης εἰμί.
ἀνατολή, ἡ · ὅταν ἄρχηται ἡ ἡμέρα, ὁ ἥλιός ἐστιν ἐν τῇ ἀνατολῇ.
κηρύσσω = ἀγγέλλω.
εὐαγγέλ-ιον, τό (← εὖ + ἀγγέλλω) = τὰ καλὰ καινὰ τοῦ Χριστοῦ. [8]
Ἑλλην-ιστί = ἐν τῇδε τῇ γλώσσῃ.
εἰσάγω ← εἰς + ἄγω.
παιδεία, ἡ (← παῖς) = τὸ τοὺς παῖδας διδάσκειν.
λαμπαδη-φόρος, ὁ = φέρων λαμπάδα.

σοφίας[6] ὁ μέγας Ἀλέξανδρος, καὶ προάγγελος τοῦ εὐαγγελίου.
ἀληθέστατα λέγεις.
καὶ ταῦτα μὲν περὶ τῆς ἄγαν ὑπηρετικῆς ταύτης προσθήκης εἰρήσθω. χαῖρε.

προάγγ-ελος, ον ← πρό + ἀγγέλλω.
ἄγαν = μάλα.
ὑπηρετ-ικός, ή, όν = χρήσιμος.
εἰρήσθω (← λέγω) = τὰ λεχθέντα ἱκανά ἐστιν.

16 *ἡ παθητικὴ διάθεσις ἤτοι τὸ πάθος*

ἐστάλησαν οἱ ἀπόστολοι[9] κηρύξοντες[25] τὸ εὐαγγέλιον,[25] καὶ ἐκήρυξαν[25] δεινῶς.
ὁ κακοῦργος[11] ἐκεῖνος ἐπήνεγκέ μοι βιαίαν πληγὴν τῇ βακτηρίᾳ[5] καὶ τὸ νῶτόν[11] μοι ἐτραυματίσθη χαλεπῶς.
εἶτα δὲ τί συνέβη;
τῶν τοξοτῶν τις τῶν φυλασσόντων τὴν πόλιν ἥρπασεν[15] αὐτόν, καὶ εὐθὺς ἐνεβλήθη εἰς τὸ δεσμωτήριον.[18]
δίκαια ἔπαθεν.
κατὰ φύσιν τοῦτο · πάντες ὅσοι ἄνομοι[11] καὶ βίαιοι δικαίως ἐμβληθήσονται εἰς τὸ δεσμωτήριον[18] · οὐ γὰρ ἄνθρωποι οἱ τοιοῦτοι ἀλλὰ συγγενεῖς τῶν τίγρεων.
οἴμοι πέπληγμαι, πόθεν ἡ πληγή;
ὁ γνώριμός[23] μου ὁ Ἰωάννης Καμερὼν παίζων[18] τὴν κορύνην ἐν τῷ πεδίῳ ἔπληξε πλαγίως τὴν σφαῖραν, ἥπερ παρετράπη εἰς τὴν κεφαλήν

παθ-ητικός, ή, όν ← πάθος.
διάθεσις, εως, ἡ (← διά + τίθημι) · τὸ *ἐπαύσθη* ἐστὶ ἐν τῇ παθητικῇ διαθέσει ἤ τοι ἐν τῷ πάθει.
στέλλω, στελῶ, -έσταλκα, ἔσταλμαι, ἐστάλην = πέμπω, ἀφίημι.
ἐπιφέρω ← ἐπί + φέρω.
βίαιος, α, ον ← βία. [6]
πληγ-ή, ἡ · δίδωμι πληγήν = πλήσσω = τύπτω. [18]
τραυματ-ίζω = πλήξας τέμνω τι τού σώματός τινος.



α' · τοξότης, ου, ὁ. β' · τίγρις, ἡ. γ' · κορύν-η, ἡ. δ' · σφαῖρα, ας, ἡ.
ἐμβάλλω ← ἐν + βάλλω.
συγγεν-ής, ές (← σύν + γένος) = ὢν τοῦ αὐτοῦ γένους.
οἴμοι · ταῦτα λέγομεν πονοῦντες.
πόθεν = ἐκ τίνος τόπου;
πεδίον, τό = χώρα ἄνευ ὀρῶν.
πλάγιος, α, ον ↔ εὐθύς.
παρατρέπω ← παρά + τρέπω.


σου.
οἴμοι—μοι—ὀτοτοτοτοτοῖ.
ὦ τοῦ ταλαιπώρου.
τί χρὴ πρᾶξαι;
φέρε εἰς τὸ νοσοκομεῖον, καὶ κάλεσον τὸν ἰᾱτρόν · ἔχει γὰρ κίνδῡνον τὸ πρᾶγμα.
αὐτίκα μάλα · κληθήσεται.

ὀτοτοῖ · ταῦτα λέγομεν πονοῦντες.
ταλαίπωρος, ον = κακῶς πάσχων.
νοσο-κομεῖον, τό = οἶκος ὅπου μένουσιν οἱ νόσους ἔχοντες.
ἰᾱτρός, ὁ = ὁ σοφὸς περὶ τῶν νόσων καὶ βοηθῶν τοῖς κακῶς ἔχουσιν.

17 ἡ μέση διάθεσις[26]

οὐ τῶν τυχόντων κατέλαβέ με ἔχειν διδασκάλους[20] τῆς σοφίας,[6] τὰ νῦν δὲ δικαίως αὐτὸς σοφίζομαι.
ἐδεξάμην τὴν βίβλον[9] ἣν σὺ ἐδέξω παρὰ τοῦ ἀνεψιοῦ, καὶ ἀναγνώσομαι[22] αὐτὴν πάσῃ σπουδῇ.
οὗτος ὁ νεᾱνίας τρέχει[7] δεινῶς · βλάψεται.
οὐ φοβοῦμαι.
ἀσφαλής ἐστι τοῖς ποσίν.
οὗτος ὁ νεᾱνίας ταλαιπώρως[27] κυπτάζει εἰς τὰς βίβλους[9] · τρῑ́ψεται ὑπερτρυφῶν ἐν τῇ ἀναγνώσει.
μὴ χαλέπαινε · βαθμηδὸν ἀκμάζει πάντα. τὰ μικρότατα σπέρματα, ἀρξάμενα ἀπὸ τοῦ ἠρινοῦ χρόνου, πρὸ τῆς ὀπώρας γενήσεται φυτὰ μεγάλα.
οὑτοσὶ[7] πλήρεσιν[16] ἀνάγεται τοῖς ἱστίοις, ἡμεῖς δὲ οὐχ ἡττησόμεθα.
σήμερον[15] λαμπρῷ χρώμεθα τῷ οὐρανῷ.

τῶν τυχόντων διδάσκαλος · τῶν τύχῃ διδασκάλων τις.
σοφ-ίζω = ποιῶ τινα σοφόν.
ἀνεψι-ός = ὑιὸς ἀδελφοῦ ἢ ἀδελφῆς τοῦ πατρὸς ἢ τῆς μητρός.
σπουδή, ἡ = τὸ ταχὺς εἶναι.
νεᾱν-ίας, ου, ὁ = νεᾱνίσκος. [13]
βλάπτω = κωλύω, μόνον οὐκ ἀπόλλῡμι.
ἀσφαλ-ής, ές = μὴ ποιῶν πεσεῖν, σῴζων.
κυπτάζω = μένω οὐκ ὀρθὸς ὢν τὸ σῶμα.
τρῑ́βω = πάλιν καὶ πάλιν κῑνῶ τι κείμενον ἐπί τινος.
ὑπερτρυφάω = ὑπερήφανός [11] εἰμι.
ἀνάγν-ωσις, εως, ἡ = τὸ ἀναγιγνώσκειν. [22]
χαλεπ-αίνω = χαλεπός εἰμι.
βαθμηδόν = κατὰ βαθμόν.
βαθμ-ός, ὁ (← βαίνω) = μικρότατον μέρος τοῦ βαίνειν.
ἀκμ-άζω = ἐν τῷ ἄκρῳ [16] τόπῳ εἰμί.



α' · σπέρμ-α, ατος, τό. β' · φυτόν, τό. γ' · ἱστίον, τό.
ἠρινός, ή, όν ← ἔαρ, τό.
ἔαρ, τό = χρόνος τοῦ ἔτους ὅτε τὰ σπέρματα ἄρχεται γενέσθαι φυτά.
ὀπώρ-α, ἡ = χρόνος τοῦ ἔτους ὅτε τὰ φυτὰ γίγνεται μεγάλα.
ἀνάγω ← ἀνά + ἄγω.
ἡσσ-άομαι (ἡττ-) = ἥσσων εἰμί, νῑκῶμαι.

αὔριον[15] δὲ ὕσει ὁ θεός.
ὤ, τάλας ἐγώ · οὐδὲν διαγίγνεται μένον ἐν τῷ οὐρανῷ τῷ κατὰ Καληδονίαν.
ἀληθῆ λέγεις · μόνον τὸ τῶν Καληδονίων ἦθος σεμνύνεται ἐπὶ τῷ ἄγαν[26] σταθερῷ[23] καὶ ἀμεταβόλῳ · κρατερὸν τὸ Καληδόνιον ἦθος ὡς ὁ γρανιτόλιθος,* ὁ ἐν Ἀβερδονίᾳ.*
χάριν οἶδα τῷ Θεῷ · αὐτὸς ἀλαζονεύομαι τῆσδε τῆς ἐπιμόνου κράσεως οὐ σπανίως μεταλαμβάνεσθαι.
δικαίως γε · ἐγγυᾶται τὴν κατόρθωσιν ἡ ἐπιμονή. ἔρρωσο.[14]

κατόρθ-ωσις, εως, ἡ (← κατά + ὀρθός) = τὸ εὖ πράσσειν.
ἐπιμον-ή, ἡ (← ἐπίμονος) = τὸ μένειν ἐπὶ τινί.

ὕω = ἵημι ὕδωρ ἐκ τοῦ οὐρανοῦ.
τάλας = ταλαίπωρος. [27]
διαγίγνομαι ← διά + γίγνομαι.
Καληδονία, ἡ = Σκωτία.* [10]
Καληδόνιος, α, ον = Σκωτικός.* [10]
ἦθος, εος, τό = τρόπος, νόμος.
σεμνύνω = παρέχω δόξαν τινί.
ἀμετά-βολος, ον (↔ μετά-βολος, ον ← μεταβάλλω) = μὴ δυνάμενος μεταβαλεῖν. [20]
κρατερός, ά, όν (← κρατέω) = ἰσχῡρός.
γρανιτόλιθος,*, ὁ = λίθος ἰσχῡρός τις.
Ἀβερδονία,* ἡ = πόλις τῆς Σκωτίας.* [10]
ἀλαζονεύομαι = λέγω καλὰ περὶ ἐμοῦ ὡς ζητήσων δόξαν.
ἐπίμον-ος, ον = μένων.
κρᾶσις εως, ἡ = μεμειγμένον τι.
σπάν-ιος, α, ον = οὐ πολλάκις τυγχάνων.
μεταλαμβάνω (← μετά + λαμβάνω) = λαμβάνω μέρος.
ἐγγυάω = λέγω ὅτι ἀληθῶς δώσω τι.

18 *αἱ μετοχαί*[16]

οὐκ ἀνέχομαι οὕτω διαβαλλόμενος.
ἀμέλει · ἀμέλει · οἶδα τὸ ἀνθρωπάριον · χαίρει ἀεὶ βλασφημῶν κατὰ τῶν κρεισσόνων.
ποία τις ἦν ἡ βλασφημία;
ἐτύγχανον ἐγὼ ἐπαινῶν τινα τῶν δυνατῶν, ἄνδρα πλούσιον καὶ εὔφρονα καὶ σώφρονα ἐν Μαγκεστρίῳ* · ὁ δὲ εὐθὺς ἤρξατο διαβάλλων ὁλοσχερῶς ἅπᾱσαν τήν τε ἀριστοκρατίαν καὶ πλουτοκρατίαν τὴν ἐν τῇ πόλει.
φαίνεται διάβολος[11] ὤν, καὶ ἀληθῶς συγγενὴς[26] τοῦ Κακοδαίμονος,[15]

ἀνέχω ← ἀνά + ἔχω. ἀνέχομαι = πάσχω.
διαβάλλω (← διά + βάλλω) = ἐνταῦθα, ψεῦδη λέγω κατά τινος.
ἀμελ-έω = δι' οὐδενὸς ποιοῦμαί τι.
ἀνθρωπ-άριον, τό = (←) ἄνθρωπος μικρός.
βλασφημ-έω (← βλασφημ-ία, ἡ) = λέγω κάκιστα, μάλιστα περὶ τῶν ἱερῶν.
ἐπαιν-έω ↔ βλασφημ-έω.
πλούσιος, α, ον = πολλὰ χρήματα ἔχων.
εὔφρων, ον ← εὖ + φρονέω.
σώφρων, ονος, ὁ, ἡ (← σῴζω + φρονέω) ≃ εὔφρων.
Μαγκέστριον,* τό = πόλις ἐν τῇ Ἀγγλίᾳ.* [25]
ὁλοσχερ-ής, ές = ὅλος.
ἀριστο-κρατία, ἡ = ὅταν κρατῶσιν οἱ ἄριστοι.
πλουτο-κρατία, ἡ = ὅταν κρατῶσιν οἱ πλούσιοι.

τοῦ Διαβόλου.[11]
καὶ διετέλει[25] ἐπηρεάζων, ὡς ἐμοῦ παρασῑ́του ὄντος καὶ ἀκολούθου[12] τῆς βδελυκτῆς τῶν ὀλιγαρχῶν αἱρέσεως · πρὸς δὲ τούτοις τὰ τοιαῦτα λοιδορήματα ἐποίησε τυπωθῆναι ἐν ταῖς ἐφημερίσι.
τοὺς τοιούτους ἀνθρώπους ἐχρῆν μαστίξαι · ὅμως, τὸ πρότερον λεχθέν, ἀμέλει. δῆλός ἐστι νῑκήσας τὴν ὀργὴν ὁ λέγων ἀμέλει.
δυνατὰ λέγεις · ὅμως σύνοιδα ἐμαυτῷ τὴν τῶν Κυαικέρων* ἀπάθειαν οὐκ ἐπαγγελλόμενος.
ἀμέλει · ἀμέλει · τρὶς νῑκηφόρος ὁ νῑκήσας τὴν ὀργήν. βραχεῖα μανία ἡ ὀργή.

ἐπηρε-άζω = ἔχω τρόπον κατὰ τῆς τῑμῆς τινος.
παράσῑτ-ος, ὁ = ὁ λαμβάνων τροφὴν παρά τινος καὶ ἐπαινῶν αὐτόν.
βδελυκ-τός, ή, όν = κάκιστος (← κακός).
ὀλιγάρχ-ης, ου, ὁ = εἷς τῶν ὀλίγων ἀρχόντων.
αἵρεσις, εως, ἡ (← αἱρέω) = μέρος τῶν φρονούντων τὸ αὐτό.
λοιδόρ-ημα, ατος, τό = λεχθὲν κατὰ τῆς τῑμῆς τινος.
τυπ-όω · οἱ μὲν πάλαιοι μόνον ἔγραφον τὰ βιβλία, νῦν δὲ τὰ βιβλία τυποῦται. [3]
ἐφημερ-ίς, ίδος, ἡ (← ἐπί + ἡμέρα) = βιβλίον γεγραμμένον ἐφ᾽ ἡμέρᾳ. [3]
μαστ-ίζω = μαστῑγ-όω. [11]



ὀργή, ἡ · τὸ ζῷον ὀργῇ χρῆται

σύνοιδα (← σύν + οἶδα) = ἔχω τι λέγειν περί τινος.
Κυαίκεροι,* οἱ = αἵρεσις τῶν Χριστιᾱνῶν (Χριστιᾱνός, ὁ ← Ἰησοῦς Χριστός [8]).
ἀπάθ-εια, ἡ (← πάθος) = τὸ μὴ πάσχειν πάθη.
ἐπαγγ-έλλω (← ἐπί + ἀγγέλλω). ἐπαγγέλλομαι = λέγω ἵνα πάντες γνῶσιν.
τρίς = τρίτον.
νῑκηφόρ-ος, ον ← νῑ́κη + φέρω.
μανία, ἡ = νόσος τοῦ νοῦς ᾗ τις μὴ φρονεῖ ὀρθά.

περιέχω ← περί + ἔχω.
εὑρητήριον, τό ← εὑρίσκω.

περιεχόμενα

εὑρετήριον